ΠΕΡΙ

ΤΗΣ ΠΑΡΑ ΚΟΙΝΤΥΛΙΑΝΩι

ΠΑΙΔΑΓΩΓΙΚΗΣ

ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ

Bratsanoy

ΜΙΛΤΙΑΔΟΥ Ι. ΒΡΑΤΣΑΝΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΕΝ ΛΕΙΨΙΑι ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ.

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Χ. Ν. ΦΙΛΑΔΕΛΦΕΩΣ

ΑΡ. 5 — ΠΑΡΑ ΤΗι ΠΥΛΗι ΤΗΣ ΑΓΟΡΑΣ — ΑΡ. 5

—

1879

ΠΕΡΙ

ΤΗΣ ΠΑΡΑ ΚΟΙΝΤΥΛΙΑΝΩι

ΠΑΙΔΑΓΩΓΙΚΗΣ

ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ

ΜΙΛΤΙΑΔΟΥ Ι. ΒΡΑΤΣΑΝΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΕΝ ΛΕΙΨΙΑι ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ.

Athene

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Χ. Ν. ΦΙΛΑΔΕΛΦΕΩΣ

ΑΡ. 5 — ΠΑΡΑ ΤΗι ΠΥΛΗι ΤΗΣ ΑΓΟΡΑΣ — ΑΡ. 5

—

1879

ΠΕΡΙ ΤΗΣ

ΠΑΡΑ ΚΟΙΝΤΥΛΙΑΝΩ

ΠΑΙΔΑΓΩΓΙΚΗΣ.

---

§ 1. Οἱ Ῥωμαῖοι περὶ πλείστου ἐποιοῦντο τοὺς ῥήτορας, καὶ καθόλου εἰπεῖν τοὺς πολιτικοὺς αὐτῶν ἄνδρας.[1] Ἐνασχολούμενοι γὰρ περὶ τοὺς νόμους καὶ τὸ δίκαιον, καὶ ἄρχοντες πολλῶν ἐθνῶν, ἔχρῃζον συμβούλων ἐμπείρως τούτων ἐχόντων καὶ λέγειν καὶ πράττειν ἱκανῶν.[2] Τούτου δ' ἕνεκα ἡ ῥήτορος παίδευσις σπουδαιότατον ἦν ἐν Ῥώμῃ καὶ μάλιστα τῶν ἐπιφανῶν οἴκων μελέτημα.[3] Περὶ τοῦτο γὰρ διέτριβεν ὁ εὐγενὴς καὶ πλούσιος Ῥωμαῖος ἀπὸ τῆς παιδικῆς αὐτοῦ ἡλικίας, καὶ ὅπως τῆς τέχνης ἐγκρατὴς γέ-

1 « Neque vero me Lacedæmonii atque Athenienses magis moverint, quam populus Romanus, apud quem summa semper oratoribus dignitas fuit. » [Quintil. II, 16, 8].

2 « Quis umquam dubitarit quin in republica nostra primas eloquentia tenuerit semper urbanis pacatisque rebus, secundas juris scientia ? » [Cic. or. 41, 141].

3 « Nam posteaquam, imperio omnium gentium contituto, diuturnitas pacis otium confirmavit, nemo fere laudis cupidus adolescens, non sibi ad dicendum studio omni enitendum putavit. » [de Orator. I, IV].

νοιτο, ἐφοίτα εἰς τὰς σχολὰς τῶν ῥητόρων, καὶ πλοῦς ἐσθ' ὅτε εἰς Ἑλλάδα ἐποιεῖτο, ὡς ἐκ πηγῆς ἀφθονεστέρας ἀντλήσων τὴν εὐγλωττίαν. Ἡ ῥητορικὴ δεινότης ἦν, συνελόντι εἰπεῖν, χρησιμωτάτη πρὸς προαγωγὴν τοῦ Ῥωμαίου εἰς τὰ ἀνώτατα τῶν πολιτικῶν ἀξιωμάτων.[1]

§ 2. Ἐπειδὴ δὲ ὁ Ῥωμαϊκὸς λαὸς ἐξόχως ἐτίμα τοὺς ῥήτορας, διὰ τοῦτο καὶ ἡ ῥητορική, πολλῶν περὶ ταύτην ἐνασχοληθέντων,[2] ἐνίων δὲ καὶ ἔργα λόγου ἄξια φιλοπονησάντων, μεγίστην ἐν Ῥώμῃ ἐποιήσατο τὴν ἐπίδοσιν.[3] Τούτων δ' ἐγένετο καὶ Μάρκος Φάβιος Κοϊντυλιανός, οὗ τὸ ἔργον, ἐκ δώδεκα βιβλίων συνιστάμενον, ἐπιγράφεται περὶ ῥητορικῆς διδασκαλίας.[4]

[1] . . . . . procerum manum multum in his studiis operæ curæque posuisse nec quemquam illis temporibus magnam potentiam sine aliqua eloquentia consecutum.» [Tac. dial. 37]. Πρβλ. καὶ Λίβιον XXXIX, 40. « Ad summos honores alios scientia juris, alios eloquentia, alios gloria militaris provexit. » Ὁ Κικέρων ὅμως δύω λέγων ταῦτα εἶναι, φαίνεται τὴν τοῦ δικαίου ἐπιστήμην τῷ τοῦ ῥήτορος ἔργῳ συνενῶν. Λέγει γὰρ « Duæ sunt artes, quæ possunt locare homines in amplissimo gradu dignitatis· una imperatoris, altera oratoris boni. » [pro Murena 14].

[2] « Omnes universos quicunque post Roman conditam oratores exstiterunt . . . . si numerare velis, vix trecentorum numerum complebis. » [Fronto ad Ver. σελ. 127. N.].

[3] Κύριαι πηγαὶ τῆς παρὰ Ῥωμαίοις ῥητορικῆς εἰσιν ὁ παρὰ Κικέρωνι Βροῦτος, ὁ ῥήτωρ Σενέκας, ὁ τοῦ Τακίτου διάλογος, οἱ τοῦ Σουετωνίου Viri illustres, Κοϊντυλιανὸς [X, 1, 105-122 καὶ XII, 10, 10—12] καὶ αἱ τοῦ Πλινίου ἐπιστολαί. Ἀποσπάσματα δὲ Ῥωμαίων ῥητόρων συνέλεξεν ὁ H. Meyer [Zürich 1832] καὶ Adolphe Berger. [Paris 1872 τομ. II σελ. 353—368].

[4] Πρὸ τοῦ Ulrici Obrechti Argentorati 1698 ἡ τοῦ Κοϊντυλιανείου ἔργου ἐπιγραφὴ ἐφέρετο ἐν ἀρχαιοτέραις ἐκδόσεσιν οὕτως·

Ἐν τούτῳ δὲ τῷ τοῦ Κοϊντυλιανοῦ ἔργῳ, πλὴν τῆς ἀφθόνου ῥητορικῆς ὕλης, κεῖνται ἐγκατεσπαρμέναι καὶ πολλαὶ παιδαγωγικαὶ γνῶμαι, ἃς ὁ συγγραφεὺς νομίζει συμβαλλομένας πρὸς τελείου ῥήτορος παιδαγώγησιν. Τυγχάνει δὲ Κοϊντυλιανὸς διχῶς τοῖς ἀναγινώσκουσιν ὠφέλιμος, ὡς ῥήτωρ καὶ παιδαγωγός, ἡ παρ' αὐτῷ ὅμως παιδαγωγικὴ οὐ λειτουργεῖ ἐλευθέρως καὶ ἀπολύτως, ἀλλ' ὑπηρετεῖ τῇ ῥητορικῇ· τούτου δ' ἕνεκα οἱ ταύτης κανόνες οὐκ ἐκτίθενται πλατύτερον, ἢ ὅσον συμβάλλονται πρὸς τελείου ῥήτορος κατάρτυσιν, οὐδὲ θεωρητικώτερον, ἢ ὅσον συμφωνοῦσι πρὸς τὸν ἐθνικὸν τῶν Ῥωμαίων χαρακτῆρα, ὅστις, πρακτικὸς καὶ πολιτικὸς ὤν, ἔχρῃζε πρακτικῆς μάλιστα διδασκαλίας, ἵνα διαπλασθῇ καὶ παιδαγωγηθῇ. Κεῖνται δ' οἱ ῥητορικοὶ κανόνες τοῖς παιδαγωγικοῖς παραγγέλμασιν οὕτω στενῶς συνδεδεμένοι, ὥστε δυσχερές ἐστιν ἀποχωρίσαι τοὺς μὲν ἀπὸ τῶν δέ, καὶ σύστημα παιδαγωγικὸν συντάξαι. Ἐπειδὴ δὲ παρὰ Κοϊντυλιανῷ τὸ ὅλον μὲν ἡ ῥητορική ἐστιν, ἡ δὲ παιδαγωγικὴ τῶν ἐπὶ μέρους ἕν, διὰ τοῦτο ἀνάγκη τὸν περὶ ταύτης γράφοντα καὶ περὶ ἐκείνης

« Oratiorum institutionum libri XII » [ἴδ. Jodoci Badii Ascensii ἔκδοσιν 1519, τότε πρῶτον ἐν Γαλλίᾳ δημοσιευθεῖσαν]. Ὀρθοτέραν δὲ ἐπιγραφὴν νομίζομεν «de institutione oratoria,» ᾗ καὶ αὐτὸς ὁ Κοϊντυλιανός, τῷ Τρύφωνι ἐπιστέλλων, χρῆται· « . . . ut libros, quos ad Marcellum meum de institutione oratoria scripseram, jam κτλ. ["Ἐπιθ. Spalding ἐν προοιμ. σελ. XXX καὶ Bünemann εἰς Λακταντ. institut. divina σελ. 1]. Ἡμεῖς δὲ χρώμεθα τῇ τοῦ Ἐδουάρδου Βοννελίου ἐκδόσει ἐν δυσὶ τόμοις, ἐπιγραφομένῃ «M. Fabii Quintiliani institutiones oratoriæ libri duodecim» ἐν Λειψίᾳ 1865.

διαλαβεῖν, ὅπερ καὶ ἡμεῖς ποιήσομεν, μέλλοντες ἤδη περὶ τῶν παιδαγωγικῶν τοῦ Κοϊντυλιανοῦ γνωμῶν πραγματευθῆναι. Βραχεῖα γὰρ τῆς παρὰ Ῥωμαίοις ῥητορικῆς ἀφήγησις εὐνοητότερον ποιήσαιτ᾽ ἂν καὶ τὸν σκοπὸν τῆς τοῦ Κοϊντυλιανοῦ συγγραφῆς.

§ 3. Ἡ ἐν Ῥώμῃ ῥητορικὴ ἀρχὴν λαβοῦσα ἐκ τῆς φυσικῆς τῶν Ῥωμαίων ἀγχινοίας καὶ εὐταξίας, μεγίστην ἐπίδοσιν ἔλαβεν ὕστερον, τοῦ χρόνου προϊόντος, καὶ συνεβάλετο πρὸς σύνταξιν τῆς πολιτείας, συντήρησιν καὶ αὔξησιν τῆς πόλεως, καὶ διοίκησιν τῶν κατακτηθέντων λαῶν. Πρὸς δὲ τούτοις οὐ μικρὸν συνεβάλλοντο πρὸς ἐπίδοσιν τῆς ῥητορικῆς καὶ τὸ κλίμα τῆς χώρας, καὶ τὸ αὐστηρὸν τῶν Ῥωμαίων συγκερασθὲν τῇ ζωηρᾷ τῶν Ἰταλικῶν λαῶν φύσει, καὶ μάλιστα ὁ οἰκιακὸς καὶ δημόσιος βίος.[1] Καὶ ὁ Ῥωμαϊκὸς οἶκος [ἵνα περὶ τούτου πρῶτον διὰ βραχέων εἴπωμεν] συνεκρότει σμικρὰν πόλιν μετ᾽ ἰδίας θρησκείας[2] καὶ διοικήσεως, καὶ τούτου ἀπόλυτος κύριος ἦν ὁ ἀνήρ, ζωῆς καὶ θανάτου ἔχων ἐξουσίαν, οὐ μόνον ἐπὶ τῶν δούλων καὶ τῶν τέκνων, ἀλλὰ καὶ ἐπὶ τῆς γυναικός.[3] Ὑπὸ τοιαύτην τοίνυν αὐστηρὰν καὶ ἀπε-

[1] Πρβλ. Geschichte der Römischen Literatur ὑπὸ W. S. Teufel 1875 σελ. 72.

[2] Ἡ λέξις religio σημαίνει δεσμόν· καὶ ὄντως οὐδαμοῦ ἡ θρησκεία συνέδει σφιγκτότερον τοὺς πολίτας ἀλλήλοις καὶ τῇ πόλει, ἢ ἐν Ῥώμῃ. Ἕκαστος γὰρ οἶκος εἶχε τοὺς ἰδίους αὐτοῦ θεοὺς [penates], ὁ δὲ οἰκοδεσπότης ἦν ἅμα καὶ ἱερεύς. Φαίνεται δ᾽ ὅτι ἡ Ῥώμη τὰ πλεῖστα τῶν ἐθῶν καὶ τὴν λατρείαν τῶν θεῶν ἐκ τοῦ συνοικισμοῦ τῶν διαφόρων λαῶν παρέλαβεν, αὐτὴ δὲ μόνον μετέδωκε τούτοις τοῦ ἰδίου πνεύματος, τουτέστι τῆς τάξεως καὶ πειθαρχίας. [ἴδ. Berger. Histoire de l'éloquence latine τόμ. Α. σ. 18].

[3] Ἡ γυνὴ καὶ τὰ τέκνα, εἰ καὶ ἐτίθεντο ὑπέρτερον τῶν δούλων,

ριόριστον πατρικὴν κυριαρχίαν, ἐδιδάσκοντο οἱ παῖδες τὴν τάξιν καὶ πειθαρχίαν, ἀρετὰς χρησίμους οὐ μόνον πρὸς τὴν κατ᾽ οἶκον συμπεριφοράν, ἀλλὰ καθόλου πρὸς τὸν πολιτικὸν βίον, καὶ τοῦ λέγειν ῥυθμιστικάς. Πλὴν δὲ τούτων ἠσκοῦντο οἱ παῖδες εἰς τὸ λέγειν ἀκροώμενοι τοῦ πατρὸς τὰ μεγάλα τῶν προγόνων ἔργα διηγουμένου καὶ διεμορφοῦντο ἀκούοντες ἀοιδῶν ᾀδόντων ἐν τοῖς συμποσίοις ᾄσματα, ὧν καὶ αὐτοὶ πολλάκις μετεῖχον ὑπὸ τοῦ πατρὸς εἰς τοῦτο καλούμενοι.[1] Ὑπὸ τοιαῦτα δ᾽ ἀληθῆ ἱστορήματα καὶ

ἐνώπιον ὅμως τοῦ οἰκοδεσπότου ἐθεωροῦντο ὡς πράγματα, οἷς οὗτος ἐχρῆτο κατὰ τὸ δοκοῦν. Ὁ γὰρ Egnatius Mecenius ἢ Metellus ἀπέκτεινε τὴν σύζυγον πληγαῖς, ὡς πιοῦσαν οἶνον, τυχὼν μὲν συγγνώμης παρὰ Ῥωμύλου κατὰ τὴν μαρτυρίαν Πλινίου τοῦ πρεσβυτέρου (Historia natural. XIV, 3, 9), παρ᾽ οὐδενὸς δὲ ψεχθεὶς διὰ τοῦτο, κατὰ τὸν Βαλέριον Μάξιμον (Valer. Max. VI, 3,9). Εἰ δέ τις πλὴν τούτου ἐξετάσαι βούλοιτο καὶ τὰ ἐν ὑστέροις χρόνοις ἐν Ῥώμῃ συμβάντα, εὑρήσει, ὅτι, ἀνακαλυφθέντων τῶν Βακχικῶν μυστηρίων, δισχίλιαι γυναῖκες μετασχοῦσαι τούτων ἐφονεύθησαν κατ᾽ οἴκους ὑπὸ τῶν γονέων. (Valer. Max. VI, 3, 7) καὶ (Tit. Liv. XXXIX, 18). Ἐπὶ δὲ τῶν χρόνων τέλος τοῦ Κατιλίνα πατὴρ ἐπὶ τῇ πατρικῇ ἐπερειδόμενος ἐξουσίᾳ, ἐφόνευσε τὸν υἱὸν Σουλπίκιον, καίπερ γερουσιαστὴν ὄντα, ἐπὶ τῇ αἰτίᾳ, ὅτι συμμετέσχε τῆς κατὰ τῆς πόλεως συνωμοσίας. [Sallust. Catil. 39).

[1] Κάτων πρῶτος ποιεῖται μνείαν τοῦ ἔθους τούτου κατὰ τὴν μαρτυρίαν τοῦ Κικέρωνος [Tuscul. I, 2). « Ἀναγινώσκεται, λέγει, ἐν τῷ συγγράμματι Κάτωνος (τῷ ἐπιγραφομένῳ Origines), ὅτι οἱ δαιτημόνες εἶχον τὸ ἔθος τοῦ ᾄδειν ὑπ᾽ αὐλὸν ἐν τῷ συμποσίῳ τὸν ἔπαινον τῶν ἀρετῶν τῶν ἐνδόξων ἀνδρῶν » [Πρβλ. καὶ Κικέρ. Βροῦτον 19, καὶ Tuscul. IV, 2]. Οἱ δὲ μετὰ τὸν Κικέρωνα συγγραφεῖς, καὶ ἐν ἄλλοις Βαλέριος Μάξιμος, μνημονεύουσι τούτου τοῦ ἔθους: οἱ ἀρχαῖοι, λέγει, ᾖδον ἐν συμποσίοις ὑπὸ τὸν αὐλὸν στίχους, ἐν οἷς ἐπῃνεῖτο μὲν τὰ καλὰ τῶν προγόνων ἔργα, παρεκαλοῦντο δὲ οἱ νέοι πρὸς μίμησιν. » [Valer. Max. II, 1, 10]. Καὶ Ὁράτιος ἀρ-

ᾄσματα διεπλάσσετο μὲν ὁ νοῦς τῶν παίδων, ἀπὸ δὲ τῆς τρυφερᾶς ἡλικίας ἐνεπνεῖτο τούτοις ἡ ἐπιθυμία τοῦ μεγάλα καὶ ὑψηλὰ ἐπιτελέσαι ἔργα. Προϊούσης δ' ὕστερον τῆς ἡλικίας, ἐξήρχοντο οἱ παῖδες τοῦ οἴκου καὶ παρεδίδοντο τῇ ἀγορᾷ καὶ τῷ πολέμῳ, τοῖς δυσὶ τούτοις τοῦ Ῥωμαίου πολίτου ἀνωτάτοις παιδευτηρίοις.

§ 4. Ὁ δημόσιος τῶν Ῥωμαίων βίος ἠρείδετο ἐπὶ τῶν αὐτῶν καὶ ὁ οἰκιακὸς ἀρχῶν, τουτέστι τῆς πράξεως, τῆς πειθαρχίας καὶ τῆς τάξεως, καὶ ἐνησκεῖτο ἐν μὲν τῇ ἀγορᾷ ὑπὸ τοῦ λαοῦ, ἐν δὲ τῇ συγκλήτῳ ὑπὸ τῶν γερουσιαστῶν. Ἐν τῇ ἀγορᾷ ὁ Ῥωμαῖος πολίτης, ὡς ἐν κύκλῳ εὐρυτέρῳ βουλευόμενος καὶ πράττων, ἐδιδάσκετο τὰς πολιτικὰς ἀρετάς, ἀκούων δὲ τῶν ῥητόρων, ὄντων συνήθως καὶ ἐν στρατιωτικοῖς ἢ πολιτικοῖς ἀξιώμασιν, ἐξέκαιε τὴν φιλοπατρίαν, καὶ ἀσκούμενος τὸ λέγειν, διετίθετο φιλίως πρὸς τὴν ῥητορικήν. Συνάπτων δ' οὗτος στερρῶς τῇ τοῦ οἴκου μερίμνῃ τὴν τῶν κοινῶν συμφερόντων φροντίδα, ἔζη βίον ἐν τῇ πόλει ἐνεργόν, καὶ τὰ μάλιστα ἐσπούδαζε περὶ τὴν τῆς πατρίδος εὐτυχίαν. Ὢν δὲ φιλόπολις φύσει καὶ ἔθει, ἐν τῇ ἀγορᾷ ἐμάνθανε τὰς ἐξωτερικὰς τῆς Ῥώμης πράξεις, καὶ τὰς τῶν λεγεώνων νίκας, ἐφ' αἷς ἀνακοινουμέναις ἔχαιρε καὶ ἐνε-

χαίων ἀναμιμνησκόμενος ἡμερῶν, λέγει, « καὶ ἡμεῖς ἐν ταῖς ἑορταῖς καὶ ἐν ἡμέραις τακταῖς, ἐν τοῖς δώροις τοῦ τερπνοῦ Βάκχου, σὺν τοῖς τέκνοις καὶ ταῖς μητράσιν, ἐπευχόμεθα πρῶτον μὲν τοῖς θεοῖς, εἶτα δὲ κατὰ τὸ ἔθος τῶν προγόνων ᾄδομεν πρὸς Λύδιον αὐλὸν τοὺς γενναίους ἥρωας, καὶ τὴν Τροίαν, καὶ τὸν Ἀγχίσην, καὶ τὸ γένος τῆς καλῆς Ἀφροδίτης. » [Orat. Od. IV, XV].

θυσία, ἢ τἀνάπαλιν, τὰ παθήματα καὶ τοὺς κινδύνους τῶν πολιτῶν, οἷς συμπάσχων καὶ ἀγανακτῶν, ἔσπευδεν ὡς τάχιστα εἰς βοήθειαν. Πολίτης δ' ὢν ὁ Ῥωμαῖος ἅμα δὲ καὶ στρατιώτης, ἐψήφιζε μὲν τοὺς ἄρχοντας καὶ πολυτρόπως ἐξεδήλου τὰς πολιτικὰς αὑτοῦ γνώμας ἐν Ῥώμῃ διατρίβων, ἐμάχετο δ' ἐν ταῖς τάξεσι τοῦ στρατοῦ κατὰ τῶν ἐχθρῶν, παρορῶν τοὺς κινδύνους καὶ τὸν θάνατον. Πολιτικὴ καὶ στρατιωτικὴ εὐστάθεια[1] καὶ θάρρος ἦσαν αἱ δύω μεγάλαι τοῦ Ῥωμαίου ἀρεταί. Συζητουμένων γὰρ ἐν τῇ ἀγορᾷ σπουδαίων ζητημάτων, οἱ μὲν ῥήτορες ἀνέβαινον ἐπὶ τὸ βῆμα συμβουλεύσοντες τὰ βέλτιστα καὶ διδάξοντες τὸν λαὸν τὰ μεγάλα τῆς πατρίδος συμφέροντα, οἱ δὲ πολῖται ἀκούοντες τούτων, ἔφερον τὴν ψῆφον, ἀφορῶντες οὐ τοσοῦτον εἰς τὸ δίκαιον, ὅσον εἰς τὸ ὠφέλιμον, ὅπερ ἴδιον ἦν καὶ πάτριον τῶν Ῥωμαίων ἔθος.[2] Τὸ βῆμα τέλος τὸ ἐν τῇ ἀγορᾷ ἦν καὶ παλαίστρα

[1] « Romana constantia » [Liv. XLII, 62] καὶ « Romana in adversis rebus constantia » [αὐτόθ. XXX, 7]. « Ἴδιον τοῦτο, λέγει ὁ Πολύβιος [III, 75—XXVII, 8] πάντη παρὰ Ῥωμαίοις ἔθος καὶ πάτριόν ἐστι, τὸ κατὰ μὲν τὰς ἐλαττώσεις αὐθαδεστάτους καὶ βαρυτάτους φαίνεσθαι, κατὰ δὲ τὰς ἐπιτυχίας ὡς μετριωτάτους. »

[2] « Majores nostros semper in pace consuetudini, in bello utilitati paruisse. » [Cic. de imp. Pomp. 20, 60]· καὶ Πλίνιος λέγει [Histor. Nat. XXV, 2] « Nostri, omnium utilitatum et virtutum rapacissimi· » καὶ Τάκιτος (dialog. 5) « Si ad utilitatem vitæ omnia consilia factaque nostra dirigenta sunt. » Πρβλ. καὶ Κοϊντυλιανοῦ XII, 2, 7. Ἡ Ῥώμη οὐκ ἠδύνατο ὑπάρχειν ἐν μέσῳ λαῶν πολεμικῶν ὑποβλεπόντων αὐτῇ, ἢ συνεχῶς πολεμοῦσα· τὸ μεγαλεῖον ταύτης ὀφείλεται τῇ βίᾳ καὶ τῇ κατακτήσει. Πρὸς τοῦτον δὲ τὸν σκοπὸν ἀποβλέπων εὐθὺ ὁ Ῥωμαῖος, ἐθεώρει θεμιτὴν καὶ ἐπιτρεπομένην τὴν χρῆσιν πάντων τῶν φερόντων πρὸς

πολιτικῶν διαπληκτισμῶν καὶ ἀπὸ τούτου ὁ ῥήτωρ ὑπεστήριζε τὰ δικαιώματα λαοῦ μεγάλου καὶ ὑπερηφάνου, πατάσσων τὸν κόμπον καὶ τὴν ἀλαζονείαν τῶν πατρικίων. Ἐν τοιαύτῃ δὲ συνεχεῖ πάλῃ ὁ λαὸς ἠρύετο δυνάμεις καὶ τόλμην πρὸς τὸ ἀμύνεσθαι, καὶ ἐδιδάσκετο τὸ λέγειν, ὅπερ τῶν σπουδαιοτάτων ἐστὶ πρὸς τὸ ὑποστηρίζειν τὸ πολιτικὰ δικαιώματα καὶ τὴν ἐλευθερίαν.[1]

§ 5. Ἔξοχον δὲ πολιτικῆς ῥητορικῆς σχολεῖον ἦν καὶ ἡ σύγκλητος, «βασιλέων πολλῶν συνέδριον,» ὡς ὠνόμασεν αὐτὴν ὁ εἰς Ῥώμην ὑπὸ Πύρρου πεμφθεὶς Κινέας.[2] Παρελαμβάνοντο δ᾽ οἱ γερουσιασταὶ ἐκ τῶν ἀρχαίων ἀρχόντων, τῶν διαχειρισάντων τὰς ἀνωτάτας ἀρχάς,[3] καὶ συνήνουν τῷ ἐπιφανεῖ γένει καὶ θαυμαστὰς πολιτικὰς ἀρετάς, ἐμπειρίαν πραγμάτων καὶ γνῶσιν τοῦ δικαίου καὶ τῶν νόμων καὶ ἀρκοῦσαν τοῦ

κατάκτησιν τοῦ ἐχθροῦ. Ὁ Ἰταλὸς Μακιαβέλης, τὸ ἐθνοφθόρον τοῦτο δόγμα δογματίσας «διαίρει καὶ βασίλευε» ἐπορίσθη ἐκ τῆς ἱστορίας τοῦ Ῥωμαϊκοῦ κράτους (πρβλ. Schmidts Geschichte der Pädagogik τόμ. Α′, σελ. 344).

[1] Ἐν τῇ ἀγορᾷ, ὡς ἔπος εἰπεῖν, συνήπτετο πάλη τῶν ῥητόρων πρὸς ἀλλήλους, συζητήσεις σφοδραί, πολὺ ἐνέχουσαι πῦρ καὶ πλήρεις ζωῆς καὶ ταραχῆς· ἐπιθυμῶν γὰρ ὁ ῥήτωρ, ἵνα παρὰ πάντων ἀκουσθῇ, ὕψου τὴν φωνὴν καὶ ἐχρῆτο λόγῳ ἐμφαντικῷ καὶ θερμῷ, ἵνα διεγείρῃ τὸ διαφέρον καὶ κατασιγήσῃ τὰ κύματα τοῦ ὄχλου.

[2] «Λέγεται δὲ Κινέαν, ἐν ᾧ ταῦτ᾽ ἔπραττεν, ἅμα ποιησάμενον ἔργον καὶ σπουδάσαντα, τῶν τε βίων γενέσθαι θεατήν, καὶ τῆς πολιτείας τὴν ἀρετὴν κατανοῆσαι, καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίστοις, τά τ᾽ ἄλλα τῷ Πύρρῳ φράσαι, καὶ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη» [Πλουτ. Πύρρ. ιθ′].

[3] Tit. Lix. XXII, 49—XXIII, 22, 23· ἔνθα γίνεται λόγος καὶ περὶ τοῦ τρόπου τῆς εἰσόδου τούτων εἰς τὴν σύγκλητον.

πνεύματος ἀνάπτυξιν. Ἀλλ' ἡ ἐν τῇ συγκλήτῳ ῥητορικὴ διέφερε τῆς ἐν τῇ ἀγορᾷ· ἐν ταύτῃ γὰρ ἐπὶ τὸ βῆμα ἀνέβαινον τὸ πλεῖστον οἱ ῥήτορες καὶ οἱ ἐν τέλει, σπάνιον δὲ οἱ ἰδιῶται, ἐν ἐκείνῃ δὲ τὸ λέγειν προσῆν πᾶσι καθόλου τοῖς πεῖραν ἔχουσι συγκλητικοῖς, καί περ ἐλαττουμένοις τῶν ῥητόρων κατά τε τὴν εὔροιαν καὶ τὴν τέχνην. Οὐκ ἐπεζήτουν δὲ οἱ ἐν τῇ συγκλήτῳ λέγοντες τὴν ἐν τοῖς λόγοις καλλιέπειαν καὶ τέχνην, ἐπειδὴ ἀπέβλεπον εὐθὺ πρὸς τὸν σκοπόν, οὗ ἐπετύγχανον χρώμενοι ἁπλῶς τοῖς προσήκουσι πρὸς τὸ πεῖσαι ἐπιχειρήμασι καὶ ἐκτιθέντες ἀκριβῶς καὶ ἀπερίττως τὴν ἑαυτῶν γνώμην. Τὸ ἀγορεύειν δ' οὕτως ἐπεβάλλετο τούτοις καὶ ὑπὸ τῆς ἀνάγκης καὶ τοῦ συμφέροντος· ὄντος γὰρ τοῦ λόγου πρὸς ἄνδρας ἐμπειροτάτους καὶ ἐγγηράσαντας τῇ λειτουργίᾳ τῶν ἀνωτάτων πολιτικῶν καὶ στρατιωτικῶν τῆς πόλεως ἀξιωμάτων, δυνατοὺς ἄρα γνῶναι τὸ δίκαιον καὶ συμφέρον καὶ αὐτὴν τὴν τοῦ λέγοντος διάνοιαν, βλάβην μᾶλλον, ἢ ὄφελος παρεῖχε τὸ τεχνικὸν καὶ ἐπιτετηδευμένον. Χαρακτὴρ πρὸς τούτοις κύριος τῶν ἐν τῇ συγκλήτῳ ἀπαγγελλομένων λόγων ἦν καὶ ἡ βραχυλογία. Οἱ γὰρ συγκλητικοὶ κατεπονοῦντο μακρῶν καὶ σχοινοτενῶν ἀκροώμενοι λόγων, καὶ οὐκ ἐφίλουν τὰς περιπλανήσεις, τὴν φορτικότητα καὶ τὸ καλλώπισμα· διὰ τοῦτο καὶ ὁ λέγων μέτρον ἔχων τοὺς ἀκούοντας μᾶλλον, ἢ ἑαυτὸν, ἐπεμελεῖτο ὡς οἷόν τε βραχέως ἐκτιθέναι τὴν περὶ τοῦ πράγματος γνώμην. Ἄλλος δὲ τελευταῖον τῶν τοιούτων λόγων χαρακτὴρ ἦν ἡ majestas, ὃν καὶ οἱ Ἕλληνες διαγνόντες ἐν τοῖς λόγοις ἐνίων ῥητόρων, ὠνόμασαν

σεμνότητα. Πάντας δὲ τοὺς χαρακτῆρας τούτους ἔνεστιν ὁρᾶν ἐν τοῖς μέχρις ἡμῶν διασωθεῖσι λόγοις καὶ ἐν αὐτοῖς ἔτι τοῖς ὑπὸ Κικέρωνος ἐν τῇ συγκλήτῳ ἀπαγγελθεῖσιν. Εἰ δέ τις μάλιστα βούλοιτο τούτου τοῦ ῥήτορος τοὺς λόγους τοὺς ἐν τῇ συγκλήτῳ ἀπαγγελθέντας πρὸς τοὺς ἐν τῇ ἀγορᾷ παραβαλεῖν, προχειροτέραν εὑρήσει τὴν διαφοράν. Ἐκεῖνοι μὲν γὰρ ἰσχυροί εἰσι καὶ βραχεῖς, εὐθὺ πρὸς τὸν σκοπὸν βαλλόμενοι, οὗτοι δὲ μακρὸν καὶ πολὺ ἔχουσι τὸ ἀνεπτυγμένον καὶ ἐπιτετηδευμένον. Εἰς τοιοῦτο τοίνυν σεμνὸν καὶ μέγα πολιτικὸν σχολεῖον φοιτῶντες καὶ οἱ παῖδες τῶν συγκλητικῶν, ἠκροῶντο τῶν λεγόντων, καὶ ἐδιδάσκοντο πρωϊαίτερον τὴν ῥητορικήν, οὖσαν, ὡς ἔφθημεν εἰπόντες, σπουδαιότατον μελέτημα παντὸς Ῥωμαίου ἐφιεμένου ἐπὶ τὰ ἀνώτατα τῶν πολιτικῶν ἀξιωμάτων ἀνελθεῖν.

§ 6. Οὐ μικρὸν δὲ συνεβάλλετο πρὸς ῥητορικὴν τοῦ Ῥωμαίου παίδευσιν καὶ ἡ ἀσχολία τούτου περί τε τὸ δίκαιον καὶ τοὺς νόμους. Ἦν δὲ μάλιστα ἡ δικανικὴ τὸ μόνον σχεδὸν τῆς φιλολογίας μέρος, περὶ ὃ ἐξ ἀρχῆς μέχρι τέλους ἐνησχολήθησαν οἱ Ῥωμαῖοι ἐκτυπώσαντες ἐν αὐτῷ καθαρὸν τὸν ἐθνικὸν τύπον.[1] Τοσοῦτο δ' ἐτιμῶντο οἱ περὶ τὸ δίκαιον διατρίβοντες, ὥστε προήγοντο, ὡς οἱ ῥήτορες, εἰς τὰ ἀνώτατα τῶν ἀξιωμάτων. « Ad summos honores, λέγει ὁ Λίβιος,[2] alios scientia, alios eloquentia, alios gloria

[1] Geschichte der Römischen Literatur W. S. Teufel (ἔκδ. γ' σελ. 87).

[2] Tit. Liv. XXXIX, 40—(πρβλ. ἔμπροσθεν § 1, σημ. 4).

militaris provexit. » Ἐνησχολεῖτο δ᾽ ὁ Ῥωμαῖος περὶ τὸ δίκαιον καὶ τοὺς νόμους, ἐπειδὴ ἦν φύσει πειθαρχικὸς καὶ ἔστεργε τὴν τάξιν καὶ τὰ νόμιμα.[1] Τῆς πειθαρχίας δ᾽ ἕνεκα κατέστη ὁ Ῥωμαϊκὸς λαὸς ὁ πάντων ὑπομονητικώτατος, πάσας τὰς συμπαρομαρτούσας τῇ ὑπομονῇ ἰδιότητας προσλαβών. Παρέχουσα γὰρ ἀδιαλείπτως ἡ ὑπομονὴ τὴν τὰ παρεντιτιθέμενα κωλύματα ὑπερνικῶσαν δύναμιν τοῦ ἀνθίστασθαι, ὕψωσε τοὺς Ῥωμαίους καὶ ἐμεγάλυνεν. Ὡς δὲ τὸ πολιτεύεσθαι ἦν τὸ κύριον τοῦ Ῥωμαίου ἔργον, οὕτω πάλιν τὸ δίκαιον ἡ βάσις τοῦ Ῥωμαϊκοῦ πολιτικοῦ βίου, καὶ ἡ πολιτεία, αὐτὴ ἡ κατ᾽ ἐξοχὴν τῶν νόμων καὶ τοῦ δικαίου πολιτεία. Οὕτω δὲ συνεδεῖτο ἀμφότερα ταῦτα, ὥστε καὶ τῷ ζητοῦντι περὶ ἐκείνου μαθεῖν, ἀνάγκη καὶ περὶ τούτου ἀκριβολογήσασθαι. Ἡ Ῥώμη ἐθεμελίωσε τὸ δίκαιον ἐπὶ τῆς αὐστηρᾶς καὶ μεμετρημένης πολιτικῆς ἐννοίας, καὶ διὰ τοῦτο κατέστη αὐτὸ ἡ βάσις τοῦ Ῥωμαϊκοῦ πολιτικοῦ βίου. Ἐπειδὴ δὲ τὸ δίκαιον ἀνεπτύχθη ἐν Ῥώμῃ κανονικῶς, διὰ τοῦτο ἔχει πλὴν τῆς πολιτικῆς καὶ ἱστορικὴν σημασίαν. Κατέστη δ᾽ αὐτὸ οὐ μόνον τὸ ἀπεικόνισμα τοῦ Ῥωμαϊκοῦ πολιτικοῦ βίου, ἀλλ᾽ ἐδήλου καὶ αὐτὴν τὴν καθολικὴν ἱστορικὴν ἔννοιαν. Ἐπὶ στερεῶν δὲ θεμελίων ἱδρυθὲν κατὰ μικρὸν τὸ δίκαιον τῆς Ῥώμης, κινεῖ ἔτι καὶ νῦν τὸν θαυμασμὸν διά τε τὴν συστηματικὴν καὶ λογικὴν σύνδεσιν, ἐπὶ μακροὺς δὲ χρόνους

[1] Ἡ παρὰ Ῥωμαίοις disciplina ἔχει περιεκτικωτάτην ἔννοιαν· δηλοῖ γὰρ οὐ μόνον τὸ πολίτευμα, ἀλλὰ καὶ τὸ θρήσκευμα, οὐ μόνον τὰ ἤθη, ἀλλὰ καὶ τὰ γράμματα. (ἔπιθ. Schmids Geschichte der Pädagogik. τόμ. Α΄, σελ. 364).

ἐπαίδευε τοὺς τῶν Ῥωμαίων παῖδας, τοὺς ἐπιθυμοῦντας ὑπὲρ τοὺς ἄλλους ὑψωθῆναι καὶ τῶν ἀνωτάτων ἐπιτυχεῖν ἀξιωμάτων.

§ 7. Ὁ οἶκος τοίνυν καὶ ἡ ἀγορά, ἡ σύγκλητος καὶ ἡ περὶ τὸ δίκαιον ἀσχολία, ἦσαν τὰ παραγαγόντα καὶ ἀναπτύξαντα τὴν ἐν Ῥώμῃ ῥητορικήν, ἐν ᾗ ὁ Ῥωμαῖος ἐξ ἁπαλῶν ὀνύχων διεπλάττετο. Ἐνταῦθα δὲ τοῦ λόγου γενομένου, δοκεῖ ἡμῖν ὡς οἷόν τε βραχέως διαλαβεῖν, ὁποία τις ἦν κατὰ τοὺς χρόνους τῆς δημοκρατίας ἡ ῥητορική· βραχεῖα γάρ τις ταύτης σκιαγραφία καταληπτότερον ποιήσαιτ᾽ ἂν τὸ σχεδίασμα, ὃ ἐν ὄψει ἔχων Κοϊντυλιανὸς συνέγραψε τὸ περὶ μορφώσεως ῥήτορος ἔργον. Παρὰ τοῖς ἀρχαίοις τῶν Ῥωμαίων τὸ ἀγορεύειν ἦν φυσικὸν, ἁπλοῦν καὶ ἄτεχνον· ἀγορεύων γὰρ ὁ ῥήτωρ ἐχρῆτο λόγῳ οὐκ ἐπιτετηδευμένῳ, οὐδὲ ῥήμασί τε καὶ ὀνόμασι κεκαλλιεπημένοις κεκοσμημένῳ, ἀλλ᾽ ἁπλῷ καὶ φυσικῷ, ἔχοντι, οὕτως εἰπεῖν, τύπον οἰκιακὸν καὶ μορφὴν ἀπέριττον καὶ ἀπαράσκευον, δι᾽ οὗ καθαρὰ ἡ γνώμη τοῦ λέγοντος ἐξεδηλοῦτο, μὴ ἐπισκοτουμένης τῆς ἀληθείας ῥητορικοῖς τεχνάσμασι καὶ ἐντέχνῳ διασκευῇ. Οὖσα δ᾽ ἡ ῥητορικὴ τότε σύμφωνος τῷ Ῥωμαϊκῷ χαρακτῆρι, ἀπέβλεπεν εὐθὺ πρὸς τὸν σκοπόν, ἐπιδιωκόμενον διὰ τρόπου πρακτικοῦ καὶ ἐμπειρικοῦ. Εἰδὼς γὰρ ὁ ῥήτωρ τὸ πρᾶγμα καλῶς, οὐ προσεῖχε τὸν νοῦν οὔτε τῇ λέξει, οὔτε τῇ τάξει, οὔτε τῇ ἀκολουθίᾳ. « **Rem tene, verba sequentur,** » ἤτοι γίνωσκε τὸ πρᾶγμα, οἱ δὲ λόγοι ἕπονται, ἣν ὁ πρῶτος τῶν κανόνων τῆς κατ᾽ ἐκείνους τοὺς χρόνους ῥητορικῆς, ὡς ἔλεγεν ὁ τοῖς ἀρχαίοις στερρῶς ἐμμένων Κάτων.

Ὀρεγόμενος γὰρ ὁ ῥήτωρ σφόδρα τοῦ τὰ βέλτιστα μὲν τῇ πατρίδι ἐν ταῖς κοιναῖς ὑποθέσεσι λέγειν, τὰ δίκαια δ᾽ ἐν τοῖς ἰδίοις συναλλάγμασιν, οὐκ ἔχρηζε χαρίζεσθαι καὶ τέρπειν, ἀλλὰ παραινεῖν καὶ διδάσκειν. Ἔχων δ᾽ ὁ ῥήτωρ ἐν ἐκείνοις τοῖς χρόνοις σκοπὸν κύριον τὴν πρᾶξιν, οὐδενὶ ὑπέκειτο περιορισμῷ· βασιζόμενος γὰρ ἐπὶ τῆς πρὸς τὴν πατρίδα ἀγάπης καὶ οὐδενὸς ἄλλου ἐφιέμενος, ἢ τῆς δόξης καὶ τοῦ μεγαλείου τῆς θρεψάσης, ἤντλει ἔκ τε τοῦ νοῦ καὶ τῆς καρδίας γενναῖα φρονήματα καὶ γνώμας. Διὰ τοῦτο ἦν μὲν ὁ λόγος ξηρὸς καὶ τραχύς, ἀλλ᾽ εἶχε βάθος καὶ δύναμιν· ἐστερεῖτο μὲν τέχνης, κομψότητος καὶ χάριτος, ἀλλ᾽ εἶχε νεῦρα, σταθερότητα σκέψεως καὶ πλοῦτον ἐπιχειρημάτων· οὐκ ἦν μὲν ἁρμονικὸς καὶ γλαφυρός, ὡς οὐδεμιᾶς καταβαλλομένης φροντίδος περὶ τὴν εὔρυθμον κατάταξιν τῶν λέξεων, ἀλλ᾽ εἶχε πολὺ τὸ εὐκατάληπτον καὶ σύντομον.

§ 8. Ἀλλ᾽ ἡ παρὰ Ῥωμαίοις ῥητορικὴ ἐσχηματίσθη τεχνικώτερον καὶ ἀνεπτύχθη, ὅτε ἡ Ῥώμη συνταχθεῖσα πολιτικῶς, ἐσωτερικῶς μὲν ἀπήλαυσεν ἡσυχίας, ἐξωτερικῶς δ᾽ ἐγένετο ἰσχυρὰ καὶ μεγάλη. Ἐπικοινωνοῦσα γὰρ αὕτη κατ᾽ ἀνάγκην τοῖς κατακτηθεῖσι λαοῖς καὶ διοικοῦσα αὐτούς, ἔχρηζε γνώσεων εὐρυτέρων καὶ σπουδαιοτέρας πολιτικῆς ἱκανότητος. Πρὸς τοῦτο τοίνυν ἐδιδάσκοντο οἱ Ῥωμαῖοι ἀπὸ τῶν ἀρχαίων χρόνων τὴν Ἐτρουσκικήν, καὶ δούλοις, τὴν γλῶσσαν ταύτην εἰδόσιν, ἐνεχείριζον τοὺς παῖδας, πρὸς τοῦτο δ᾽ οὐ πολλῷ ὕστερον καὶ τὴν Ἑλληνικήν, ἧς χρείαν εἶχον πρὸς διοίκησιν πολλῶν Ἑλληνικῶν χωρῶν. Ἀλλ᾽ ἀπὸ τῆς ἐντελοῦς κατακτήσεως τῆς

Ἑλλάδος ὑπὸ τῆς Ῥώμης τὸ πρᾶγμα οὐ μικρὸν παρήλλαξε. Κατακτησάμενοι γὰρ οἱ Ῥωμαῖοι τοὺς Ἕλληνας, καὶ ἐν τῷ μακρῷ καταλόγῳ τῶν Ῥωμαϊκῶν ἐπαρχιῶν καὶ τὴν Ἑλλάδα καταγράψαντες, μικρὸν καὶ λεληθότως ἑάλωσαν ὑπὸ τοῦ δαιμονίου καὶ ἐπαγωγοῦ πνεύματος τῆς Ἑλληνικῆς παιδείας καὶ ἐξηλληνίσθησαν. Καὶ οὐκ ἐγένοντο μὲν πάντως ὑποχείριοι καὶ ὑπήκοοι τῇ τοῦ Ἑλληνισμοῦ δυνάμει, ὑπεισῆλθεν ὅμως τὸ φιλάνθρωπον καὶ μουσικώτατον τῆς Ἑλλάδος πνεῦμα τὸν Ῥωμαϊκὸν βίον καὶ ἐγένετο ἕνωσίς τις καὶ κρᾶμα Ἑλληνικῆς καὶ Ῥωμαϊκῆς παιδείας, ἐξ ἧς νεώτερος παρήχθη βίος, πρακτικός τε ἅμα δὲ καὶ θεωρητικός.

§ 9. Ἡ εἰς Ῥώμην ὅμως εἰσαγωγὴ τῆς Ἑλληνικῆς ῥητορείας ἐνέτυχεν ἐξ ἀρχῆς πολλοῖς καὶ χαλεποῖς ἐμποδίοις. Ἔτρεχε μὲν γὰρ ἡ τῆς Ῥώμης νεολαία κατόπιν τῶν Ἑλλήνων ῥητόρων καὶ ἡδέως ἤκουεν αὐτῶν λεγόντων, ἀλλὰ Ῥωμαῖοι ἄνδρες μέγα ἰσχύοντες δραστηρίως ἀντετάξαντο τῇ ἔξωθεν ἐλθούσῃ τέχνῃ· φοβούμενοι γὰρ οὗτοι ἔκλυσιν καὶ μαλακίαν τῶν τῆς πόλεως ἠθῶν, λόγῳ καὶ ἔργῳ ἀντέστησαν πρὸς ταύτην, πείσαντες τέλος καὶ τὴν σύγκλητον ἀποπέμψαι τῆς Ῥώμης τοὺς ῥήτορας καὶ φιλοσόφους. Ἐν τοῖς πρώτοις δὲ Κάτων ἐγένετο διώκτης τῆς Ἑλληνικῆς παιδείας, « ἀποθεσπίζων καὶ προμαντεύων, ὡς ἀπολοῦσι Ῥωμαῖοι τὰ πράγματα γραμμάτων Ἑλληνικῶν ἀναπλησθέντες. »[1] « Φοβούμενος

[1] Πουτάρχ. Κάτ. κγ'. « Τὸν δὲ παῖδα διαβάλλων πρός τὰ Ἑλληνικά, φωνῇ κέχρηται θρασυτέρᾳ τοῦ γήρως, οἷον ἀποθεσπίζων καὶ προμαντεύων, ὡς ἀπολοῦσι κτλ. » Ὅτι δὲ τοῦτο κενὴ πρόφασις ἦν,

γάρ οὗτος, μὴ τὸ φιλότιμον ἐνταῦθα τρέψαντες οἱ νέοι, τὴν ἐπὶ τῷ λέγειν δόξαν ἀγαπήσωσι μᾶλλον τῆς ἀπὸ τῶν ἔργων καὶ τῶν στρατειῶν»[1] ἐκήρυξε πόλεμον τοῖς γράμμασι, ταῖς τέχναις, καὶ ταῖς ἐπιστήμαις καὶ καθόλου εἰπεῖν προὔγραψε πάντα τὸν Ἑλληνισμόν.[2] Ἀλλὰ τὰ ὑπὸ Κάτωνος παρεμβληθέντα ἐμπόδια ἀνέστειλε μὲν βραχεῖ χρόνῳ τὴν διάδοσιν τῆς Ἑλληνικῆς τέχνης εἰς Ῥώμην, οὐκ ἠδυνήθη δὲ ταύτην τέλεον ἀποδιῶξαι. Πολλὰς γὰρ πρῶτον ἡ τῶν Ἑλλήνων ῥητορεία ποιησαμένη περιελάσεις καὶ περιστροφάς, καὶ γενναίως παλαίσασα τοῖς παρεντιθεῖσι κωλύμασιν, ὕστερον ἐνίκησεν. Ἴδιον γὰρ τῆς ῥητορικῆς ὑπερνικᾶν τὰ ἐμποδὼν ἱστάμενα, καὶ διασπᾶν τὰ πρὸς τὸ κωλῦσαι τὴν πνευματικὴν πρόοδον ὑψούμενα προχώματα. Αἱ θαυμασταὶ γὰρ ἀγορεύσεις τῶν περὶ τὸν Καρνεάδην, «οἱ Ἀθήνηθεν εἰς Ῥώμην ἦλθον καταδίκην τινὰ παραιτησόμενοι τοῦ δήμου τῶν Ἀθηναίων, ἣν ἐρήμην ὦφλον, Ὠρωπίων μὲν διωξάντων, Σικυωνίων δὲ καταψηφισαμένων τίμημα πεντακοσίων ταλάντων ἔχουσαν, μεγάλων ἐπιλαβόμεναι καὶ φιλανθρώπων ἀκροατηρίων, ὡς πνεῦμα τὴν πόλιν ἠχῆς ἐνέπλησαν·» πρὸς δὲ τούτοις καὶ

ὁ χρόνος ἐμαρτύρησεν, ὡς διὰ βραχέων αὐτός ὁ τῆς συκοφαντουμένης ἀληθείας ὑπερασπιστὴς Χαιρωνεὺς φιλόσοφος σημειοῖ· «Ἀλλὰ ταύτην μὲν τὴν δυσφημίαν ὁ χρόνος ἀποδείκνυσι κενήν, ἐν ᾧ τοῖς τε πράγμασιν ἡ πόλις ἤρθη μεγίστη, καὶ πρὸς Ἑλληνικὰ μαθήματα καὶ παιδείαν ἅπασαν ἔσχεν οἰκείως.»

1 Πλουτάρχ. αὐτόθι.

2 «Ταῦτα δ' οὐχ, ὡς ἔνιοι νομίζουσι, Καρνεάδῃ δυσχεράνας ἔπραξεν, ἀλλ' ὅλως φιλοσοφίᾳ προσκεκρουκώς, καὶ πᾶσαν Ἑλληνικὴν μοῦσαν καὶ παιδείαν ὑπὸ φιλοτιμίας προπηλακίζων..».» αὐτόθ.

ἡ ἀνάγνωσις τῶν ἀθανάτων τῆς Ἑλληνικῆς διανοίας ἔργων, ἀνῆψε μεγάλην ἐν ταῖς καρδίαις τῶν νέων Ῥωμαίων φλόγα καὶ δεινὸν τούτοις ἐνέβαλεν ἔρωτα πρὸς κτῆσιν ῥητορικῆς δεινότητος. Τοσαύτην δὲ δύναμιν καὶ ῥοπὴν ἔσχε τότε ὁ Ἑλληνισμὸς εἰς τὸν πολιτικὸν τῆς Ῥώμης βίον, ὥστε καὶ αὐτοῦ τοῦ ἀμειλίκτου ἐχθροῦ τῶν Ἑλληνικῶν γραμμάτων Κάτωνος σπουδαίως ἥψατο. Γέρων γὰρ ἤδη ὤν, ἐδιδάχθη καὶ αὐτὸς τὴν Ἑλληνικὴν γλῶσσαν κατὰ τὴν μαρτυρίαν πολλῶν·[1] οὐκ ἠδυνήθη δηλαδὴ ὁ στερεὸς καὶ ἀκράδαντος ἐκεῖνος ἀνὴρ ἀντιστῆναι πολὺν χρόνον τῷ ἡδεῖ καὶ ἐπαγωγῷ τῆς Ἑλληνικῆς παιδείας, ἀλλὰ καί περ περὶ δυσμὰς τοῦ βίου γενόμενος, διεπεραιώθη νηχόμενος εἰς τὰς Ἑλληνικὰς Σειρῆνας καὶ λάτρις κατέστη τῶν Πιερίδων Μουσῶν. «Ἄλλως δὲ παιδείας Ἑλληνικῆς, λέγει ὁ Πλούταρχος, ὀψιμαθὴς γενέσθαι λέγεται, καὶ πόρρω παντάπασιν ἡλικίας ἐληλακώς, Ἑλληνικὰ βιβλία λαβὼν εἰς χεῖρας, βραχέα μὲν ἀπὸ Θουκυδίδου, πλείονα δ᾽ ἀπὸ Δημοσθένους εἰς τὸ ῥητορικὸν ὠφεληθῆναι. Τὰ μέν τοι συγγράμματα καὶ δόγμασιν Ἑλληνικῆς καὶ ἱστορίαις ἐπιεικῶς διαπεποίκιλται καὶ μεθερμηνευόμενα πολλὰ κατὰ λέξιν ἐν τοῖς ἀποφθέγμασι καὶ ταῖς γνωμολογίαις τέτακται.»[2] Ἀλλ᾽ ἐκ τῶν λόγων τοῦ Κάτωνος, καίπερ πλεῖστον ἐκ τῶν Ἑλλήνων ῥητόρων ὠφεληθέντος, ἔλειπε κατὰ

[1] Cicer. de senectute I, 8. — Academ. II, 2.—Corneal. Nep. 3. — Quintil. XII, 11. — Tertull. de pallio σελ. 615. — Jeron, epistol. II, 8. — Valer. VIII, 7, 1.

[2] Πλουτάρχ. Κάτ. σελ. 273 ἔκδ. Κοραῆ.

τὴν μαρτυρίαν τοῦ Κικέρωνος, τὸ ἀνθηρὸν τῆς λέξεως καὶ τὸ χρῶμα, ἅτινα οὔπω γνωστὰ ἦν. «Intelliges nihil illius lineantis, nisi eorum pigmentorum, quae inventa nondum erant, florem et colorem defuisse.»[1]

§ 10. Τῇ τῶν Ἑλλήνων τοίνυν ῥητορείᾳ καὶ ἡ τῶν Ῥωμαίων ἤρξατο μορφουμένη τεχνικῶς καὶ τελειοποιουμένη. Εἰ δὲ δεῖ ἡμᾶς ἀκριβέστερον ὁρίσαι τὸν χρόνον, λέγομεν, ὅτι ἡ ἀληθὴς τέχνη ἀρχὴν μὲν ἐπὶ τῶν Γράκχων ἐποιήσατο, ἐπὶ μέγιστον δ᾽ ἀκμῆς προέβη ἐπὶ Κικέρωνος. Καί τοι δὲ Σέρβιος Σουλπίκιος Γάλβας [144 π. Χ.] πρῶτος φαίνεται τοὺς λόγους τεχνικῶς περικοσμήσας, οἱ νέοι ὅμως Γράκχοι τέλειοι κατέστησαν ῥήτορες, ὡς τὴν φύσιν τῇ τέχνῃ συμμίξαντες· ἐπ᾽ αὐτῶν γὰρ ἡ πρακτικὴ πολιτικὴ ῥητορικὴ εἰς ὕψος ἤρθη μέγιστον. Ὁ ἔνδοξος πρὸς τούτοις οἶκος τοῦ Σκηπίωνος τοὺς μεγίστους παρήγαγε τῶν τῆς δημοκρατίας ῥητόρων. Ἔξοχον γὰρ οὗτοι φύσει λαβόντες νοῦν, τὰς μὲν ψυχὰς τῶν Ῥωμαίων τῇ εὐγλωττίᾳ κατεκτήσαντο, τὰ δὲ ἤθη, τραχέα τέως ὄντα καὶ ἄγρια, τῇ τῶν τρόπων γλυκύτητι καὶ εὐγενείᾳ κατεπράϋναν. Παιδευθέντες δὲ τῇ τῶν πραγμάτων ἐμπειρίᾳ καὶ ἀκριβῶς τὴν ἀνθρωπίνην γνόντες καρδίαν, πρῶτοι οὗτοι ἐδίδαξαν, ὅτι τὸ διοικεῖν ἐστι πείθειν. Καίπερ δὲ στερούμενοι λεπτότητος καὶ χάριτος καὶ φροντίδος καὶ ἁρμονίας περὶ τὴν λέξιν, ἥνουν ὅμως τῇ φύσει θαυμαστὸν ὅσον τοῦ πνεύματος βάθος καὶ ἐχρῶντο τάξει καὶ ἀποδεικτικῇ δυνά-

[1] Cicer. Brut n. 298.

μει, καὶ σταθερότητι ἐν ταῖς σκέψεσι καὶ τελειότητι ἐν ταῖς ἐκφράσεσι. Ταῦτα δὲ πάντα ὁ δεξιώτατος τοῦ Κικέρωνος νοῦς προώριστο συνενῶσαι καὶ ὑψῶσαι τὴν τέχνην εἰς τὸν κολοφῶνα.

§ 11. Ὁ πανδαήμων Κικέρων ἐπεξέτεινε τὸν κύκλον τῶν γνώσεων τοῦ Ῥωμαίου πολίτου, καὶ ἵδρυσε στάδιον πνευματικῆς δολιχοδρομίας εὐρύτερον. Κάτοχος γὰρ τῆς Ἑλληνικῆς φιλοσοφίας καὶ τὴν παρ' Ἕλλησι ῥητορείαν ἐσπουδακώς, οὐχ ὑπάγει τὴν πᾶσαν παίδευσιν τῷ τοῦ ῥήτορος πρακτικῷ σκοπῷ.[1] Θεωρεῖ μὲν τὴν ῥητορικὴν ὡς κέντρον, οὕτως εἰπεῖν, πάσης ἐπιστημονικῆς γνώσεως, καὶ τιμᾷ διαφερόντως τὸ πρακτικὸν καὶ διδακτικὸν τοῦ ῥήτορος ἔργον, παρέχει ὅμως ἕδραν καὶ ταῖς ἄλλαις τῶν ἐπιστημῶν. Ἐν τοῖς ἔργοις δηλονότι τοῦ Κικέρωνος ἔστιν ὁρᾶν τὰς ἐπιστήμας ὡσεὶ μακρόθεν τῆς θαλάσσης ἀναδυομένας· ὡς ἐκ βάθους δὲ εἰκόνος τινὸς φαίνονται ἤδη προερχόμεναι αἱ σεμναὶ θεαί, ἃς ἐξ ὅλης ψυχῆς καὶ καρδίας οἱ Ἕλληνες ἐλάτρευσαν. Ἵσταται μὲν τὸ ἄγαλμα τῆς ὑπὸ τῶν Ῥωμαίων λατρευθείσης ῥητορικῆς ἐπὶ τόπου ἐπιφανοῦς τὴν Ῥωμαϊκὴν τήβεννον ἀντὶ τῆς Ἑλληνικῆς χλαμύδος ἠμφιεσμένον, προβαίνουσι δὲ καὶ αἱ Ἑλικωνιάδες. Ἐξαίρεται μὲν ἡ ῥητορικὴ παρὰ Κικέρωνι, διαφαίνονται δὲ καὶ αἱ λοιπαὶ

[1] « Μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις, ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι· καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται, καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. » [Πλουτάρχ. Κικέρ. ιγ'].

τῶν τεχνῶν καὶ ἐπιστημῶν. Ὡς πολιτικὸς καὶ φιλόσοφος φέρει ὁ Κικέρων συνηνωμένας ἀλλήλαις τὴν πρᾶξιν καὶ θεωρίαν, τὸν Ῥωμαϊκὸν δηλονότι καὶ Ἑλληνικὸν χαρακτῆρα. Καὶ ὡς μὲν φιλόσοφος οὐκ ἠδυνήθη ἰσωθῆναι τοῖς Ἕλλησιν, « Ἀπόγραφα sunt, ἔγραφε τῷ φίλῳ Ἀττικῷ, minore labore fiunt, verba tantum affero, quibus abundo, » ἀλλ᾽ ὡς πολιτικὸς καὶ ῥήτωρ ἔχει τι ἴδιον καὶ πρωτότυπον. Τοῦτο δ᾽ ἐκόσμησε μελετῶν τοὺς Ἕλληνας, εἶχε δὲ λαβὼν ὡς Ῥωμαῖος ἐκ τοῦ οἰκιακοῦ καὶ πολιτικοῦ βίου, ὅστις ἦν, ὡς εἴδομεν, πρακτικός. Διὰ τοῦτο ἐπιδείκνυσι τὴν Ῥωμαϊκὴν πολιτείαν ὡς πρότυπον, καὶ προβάλλει εἰς μίμησιν τῷ βουλομένῳ τὸ βέλτιστον πολίτευμα παραγαγεῖν.[1] Τὰς ἠθικὰς ἰδέας στηρίζει ἐπὶ τῆς ἀρετῆς, καὶ παραδέχεται κατὰ τοὺς Ἕλληνας, ὅτι κτῶνται διὰ τῆς ἀγωγῆς καὶ παιδείας, διὰ τῆς μελέτης καὶ ἀσκήσεως καὶ γενικῶς διὰ τῆς μορφώσεως τοῦ νοῦ καὶ τῆς καρδίας. « Ἡ φύσις ἐπιτάττει, λέγει, ἡμῖν καθήκοντα, καὶ ὡς δεῖγμα τῆς θείας ἡμῶν καταγωγῆς ἔδωκε τοῖς ἀνθρώποις ἔμφυτον τὴν πρὸς τοὺς φίλους, τοὺς οἰκείους, τὴν πατρίδα καὶ τὴν πρὸς τὴν κοινωνίαν ἀγάπην. »[2] Θεωρῶν δὲ τὸν ῥήτορα ὡς τὸν πολιτικὸν ἄνδρα, οὗ οὐδεὶς ὑπέρτερος κατὰ τὴν φιλοπατρίαν, ἀπαιτεῖ, ἵνα περιλαμβάνῃ οὗτος τὴν μεγίστην ἐν ἑαυτῷ τεχνικὴν καὶ ἠθικὴν τελειοποίησιν. Διὰ τοῦτο καὶ οὗτος παρεδόθη οὐ μόνον τῇ τοῦ δικαίου, ἀλλὰ καὶ τῇ τῆς φιλοσοφίας καὶ τῆς ἱστορίας

1 De republic. I, 38—leg. I, 6, II, 10.
2 Fin. I, 7—leg. I, 7.

σπουδῇ. Πλὴν δὲ τῆς Ῥωμαϊκῆς ἰδιότητος καὶ τοῦ ὑψίστου τῆς πρακτικῆς ἐνεργείας, συνενοῦται τῷ ῥήτορι καὶ ἄσκησις τοῦ ὀρθῶς λέγειν, τότε πρῶτον ἐπιφαινομένη. Πλὴν δὲ τῆς ἀσκήσεως νομίζεται ἀναγκαία καὶ θεωρητική τις διδασκαλία πρὸς τελείου ῥήτορος κατάρτυσιν.[1] Ἐν ταύτῃ δὲ τῇ διακρίσει τῇ ἐν ταῖς τέχναις καὶ ἐπιστήμαις ἀναφαινομένῃ ἐκδηλοῦται παρὰ Κικέρωνι καὶ ῥοπή τις πρὸς τὸ ἴδιον καὶ προσωπικόν. Ἤδη τὸ πρόσωπον διακρίνεται ἐνεργοῦν καὶ πρᾶττον, παρίσταται δὲ ἐν τῇ ἱστορίᾳ μετ' ἐξουσίας ἰδίας, καὶ ὁ ἀρχαῖος Ῥωμαϊκὸς βίος, καὶ τὸ ἀπεικόνισμα τοῦ βίου τούτου, ἡ δημοκρατία, καταβιβάζεται μετὰ τοῦ Καίσαρος εἰς τὸν τάφον. Ἔκτοτε δ' ἄρχεται τὸ ἄτομον ἐκκλῖνον τοῦ στενοῦ κύκλου τοῦ ἀρχαίου βίου, ἐγειρόμενον δέ, ἐκτινάσσει τῶν ὤμων τὸ δύσκολον φορτίον τῆς πράξεως. Παρατηρήσεως δὲ καὶ θαυμασμοῦ ἄξιόν ἐστιν, ὅτι ὁ Κικέρων ὁ τὸν ἀρχαῖον Ῥωμαϊκὸν βίον περιγράψας καὶ ἐξυμνήσας λαμπρῶς, αὐτὸς καὶ κηδεύει τοῦτον. Οἱ ἔπαινοι τοῦ ἀνδρὸς φαίνονται ὡσεὶ ὕλη ἐπικηδείου λόγου λεγομένου ἐπὶ τῇ θαπτομένῃ Ῥωμαϊκῇ δημοκρατίᾳ. Οὕτω τοίνυν, ὡς ἐκ τῶν ἄνω δεδήλωται, ἡ ῥητορικὴ ἀπολυομένη τῶν δεσμῶν τῆς πράξεως, μεγάλας ποιεῖται τὰς ἐπιδόσεις. Τότε συλλέγεται ἄφθονος ῥητορικὴ ὕλη, ἥτις πολυειδῶς καὶ ποικιλομόρφως διαπλάττεται καὶ διασκευάζεται.

§ 12. Ἀλλ' ἐπὶ τῶν αὐτοκρατόρων ἡ ῥητορικὴ οὐσιωδῶς παρήλλαξεν· ἐξέλιπε γὰρ ἡ πρακτικὴ ῥη-

[1] Πρβλ. Cramer. τόμ. II ἐν τῷ προλόγῳ.

τορική, ἡ σύμφωνος τῷ Ῥωμαϊκῷ χαρακτῆρι, ὡς εἴδομεν αὐτὴν ἐν τοῖς χρόνοις τῆς δημοκρατίας, καὶ μετ᾽ αὐτῆς ᾤχετο ἀπιοῦσα καὶ ἡ ἐπὶ Κικέρωνος, ἥτις κρᾶμα οὖσα θεωρίας καὶ πράξεως, ἐπὶ τοσοῦτον ἀκμῆς προέβη. Ὅσῳ γὰρ ὁ κύκλος τῆς ἐνεργείας τοῦ πολίτου ἐσμικρύνετο, τόσῳ καὶ ἡ ἐλευθερία τοῦ ῥήτορος περιωρίζετο· εἰκότως· ἡ γὰρ ῥητορικὴ τῆς ἐλευθερίας ἐστὶ καρπός· ἵνα αὕτη βλαστήσῃ, αὐξηθῇ, ἀνθήσῃ καὶ καρποφορήσῃ, χρῄζει ἐλευθέρας πολιτείας. Ἡ τέχνη τοῦ ῥήτορος ἐξαρτᾶται ἐκ τῆς ἐλευθερίας τοῦ λέγειν· ὅπου γὰρ ὁ νόμος ἐπιτρέπει τὴν ἐλευθερίαν τοῦ λόγου, ἐκεῖ ὁ πολίτης σκέπτεται περὶ πιθανωτέρου καὶ τεχνικωτέρου τρόπου τοῦ λέγειν. Ἡ ῥητορικὴ ἐν ταῖς τυραννίσιν, ὡς ἡ ἱστορία διδάσκει, μαραίνεται, τήκεται καὶ θνήσκει, ἤ, ἀληθῶς εἰπεῖν, οὐδέποτε γεννᾶται. Δεσμευομένης γὰρ τῆς γλώσσης, συνομνύουσιν οἱ πολῖται καὶ οὐ ῥητορεύουσι· δάκνουσι τὴν γλῶσσαν, κλείουσι τὰ χείλη, πιέζουσι τὴν καρδίαν καὶ ἐλλοχῶσι τὸν τύραννον. Ἐπὶ τῆς αὐτοκρατορίας συγκεντρωθείσης πάσης σχεδὸν τῆς ἐξουσίας ἐν τοῖς ἀνακτόροις, ἡ ἀγορὰ ἔπαυσεν οὖσα κέντρον ἐνεργείας πολιτικοῦ βίου, ἡ δὲ σύγκλητος κατέστη σῶμα τυπικῶς καὶ ἄνευ ἐξετάσεως καὶ συζητήσεως ἐπικυροῦν τὰ ὑπὸ τοῦ αὐτοκράτορος ὑποβαλλόμενα. Ὁ Ῥωμαϊκὸς τοίνυν λαὸς ἀπολέσας τὴν δύναμιν τοῦ πράττειν, ἐπαύσατο πολιτευόμενος, ἐγένετο δὲ ἄθροισμα ὄχλου κινουμένου κατὰ θέλησιν εὐαρίθμων σπουδαρχούντων. Κατὰ ταῦτα οὖν ἡ πρακτικὴ ῥητορικὴ ἐκ τοῦ πολιτικοῦ βίου τῶν Ῥωμαίων παραχθεῖσα, περιωρίσθη μεγάλως κατὰ τοὺς χρόνους τῶν αὐτο-

κρατόρων. Ἐκλειψάσης δὲ ταύτης ἕνεκα τοῦ περιορισμοῦ τῆς πολιτικῆς τοῦ πολίτου ἐνεργείας, ἤρξατο ἀκμάζουσα ἡ θεωρητική· ἐκλείσθη ἤδη ἡ μεγάλη τοῦ λαοῦ σχολή, ἡ ἀγορά, καὶ ἀντ' αὐτῆς πολλὰ καὶ ποικίλα ῥητορικῆς ἠνεῴχθη σχολεῖα, εἰς ἃ προσέτρεχον οἱ παῖδες τῶν Ῥωμαίων. Στερηθέντες γὰρ οἱ τῶν εὐγενῶν καὶ πλουσίων Ῥωμαίων παῖδες παντὸς ἄλλου σταδίου ἐνεργείας, ἐτράπησαν ἀναγκαίως εἰς τὴν ῥητορικήν, ἥτις τότε περιελάμβανε πᾶσαν σχεδὸν γνῶσιν καὶ μάθησιν· ἡ φιλοσοφία δηλονότι καὶ ἡ ποίησις καὶ καθόλου ἡ φιλολογία συγκατελέγετο ἐν τῷ προγράμματι, οὕτως εἰπεῖν, τῆς τέχνης τοῦ ῥήτορος. Ἔτρεχον οὖν οἱ παῖδες τῶν Ῥωμαίων εἰς τὰ τῆς ῥητορικῆς σχολεῖα καὶ ἐδιδάσκοντο ἐν αὐτοῖς κατὰ κανόνας λέγειν καὶ γράφειν. Οἱ εὐγενεῖς δὲ τότε Ῥωμαῖοι ἀναζητοῦντες τοὺς ἐπισήμους τῶν ῥητόρων, ἵνα τούτοις τοὺς παῖδας παραδῶσι, καὶ αὐτοὶ ἐσύχναζον εἰς τὰ σχολεῖα, καὶ ὡς ὑψίστην ἐθεώρουν εὐτυχίαν τὴν ἐν αὐτοῖς διατριβήν.[1] Τότε δὲ διάφορα θεωρητικὰ συστήματα ῥητορικῆς παρήχθη, μέγα ἀλλήλων διαφέροντα· καί τινες μὲν ἐγένοντο ἀκόλουθοι συστημάτων γνωστῶν διδασκάλων, τινὲς δὲ καὶ ἰδίαν ἐτράποντο ὁδόν, ὥστε πολλαπλασιασθέντων τούτων ἐπῆλθε σύγχυσις καὶ πολλάκις ἐσκοτίσθη ὁ νοῦς τῶν νέων.[2] Ἡ διδασκαλία δὲ ἐν ταῖς σχολαῖς ἐκείναις ἦν μόνον ἐξωτερική, τουτέστιν ἐξεπαίδευεν οὐχὶ πρὸς

[1] Plinii epistol. 2, 3.

[2] Westermann. Geschichte der Römischen Beredsamkeit 79—80.

τὸ ἠθικὸν καὶ τὸ καλόν, οὔτε πρὸς τὴν κατὰ μικρὸν μεθοδικὴν τοῦ ὅλου ἀνθρώπου ἀνάπτυξιν, ἀλλ' ἁπλῶς πρὸς ἄσκησιν τῶν ῥητορικῶν δυνάμεων τοῦ ἀκούοντος.[1] Τῆς ῥητορικῆς τοίνυν σκοπούσης οὐχὶ πρὸς βελτίωσιν τοῦ ἤθους, οὐδὲ πρὸς παράστασιν τοῦ καλοῦ ἐν τῇ τέχνῃ, ἐξέλιπε καὶ τὰ κυριώτατα τοῦ λόγου κοσμήματα, ἡ φυσικὴ τουτέστιν ἁπλότης, ἡ χάρις καὶ ἡ αἰδώς, καὶ τὴν θέσιν αὐτῶν κατέλαβε τὰ ῥητορικὰ τεχνάσματα, ἡ ἐπίδειξις καὶ αἱ ποιητικαὶ ἐκφράσεις.[2] Ἀπήρεσκεν οὖν ἤδη τὸ ἀντικείμενον, περὶ πλείστου δ' ἐποιεῖτο τὰ ἐν βραχεῖ χρόνῳ τὸ συμφέρον παράγοντα. Ὁ Κικέρων καὶ οἱ ἄλλοι τῶν σπουδαίων ῥητόρων οὐκ ἐσπουδάζοντο, οὐδ' ἐτιμᾶτο ἡ ἱστορικὴ καὶ πραγματικὴ ὕλη, μεθ' ἧς οἱ λόγοι ἐκείνων συντεταγμένοι ἦσαν. Μὴ ὑπαρχούσης τοίνυν πραγματικῆς ὕλης, ἔπλαττον οὗτοι ἀντικείμενα πρὸς σύνθεσιν λόγων τεχνητῶν καὶ ἐμισθοῦντο οἱ ἐπιδοκιμάζοντες τοὺς ἀγορεύοντας.[3] Ἡ ῥητορικὴ τέλος τῶν χρόνων ἐκείνων ἀναπτυχθεῖσα θεωρητικῶς προσέλαβεν ὅλως θεατρικὴν παράστασιν καὶ κατέστη τέρψεως καὶ ψυχαγωγίας παρεκτική.

§ 13. Ἐπὶ τοιαύτης πολιτικῆς καὶ ἐπιστημονικῆς καταστάσεως ἐμφανίζεται ὁ Κοϊντυλιανός. Οὐκ ἦν τότε ὁ οἰκιακὸς καὶ πολιτικὸς βίος τῶν καλῶν τῆς δημοκρατίας χρόνων, ὡς αὐτὸν ἐξιστορήσαντες ἐθαυμάσαμεν· ἤδη τὸ φθοροποιὸν τοῦ δηλητηρίου μίασμα

1 Cramers Geschichte κτλ. τόμ. II σελ. 653.
2 Tacit. dialog. de Orator. 20.
3 Plinii epistol. II, 14—Quintil. X, 1, 18.

εἰσέδυ εἰς τὸ αἷμα τοῦ κοινωνικοῦ σώματος καὶ συγκυκλοφορηθὲν μετὰ τούτου ἐμόλυνε καὶ διέφθειρε τὴν ἀγαθὴν αὐτοῦ φύσιν καὶ πᾶσαν ζωτικὴν ἰκμάδα ἀπεξήρανεν. Ὁ πλοῦτος, τὸ μεγαλεῖον, ἡ δόξα καὶ ὁ κόρος, ὁ ἀκόλουθος τῆς ὑπερβολικῆς χρήσεως, κατεμάρανε τὰ τέως ζηλωτὰ τῶν Ῥωμαίων ἤθη καὶ μετέβαλε τὸν ἀνδρικὸν χαρακτῆρα τούτων. Ἐπὶ τοῦ Καισαρισμοῦ περιορισθείσης τῆς ἐλευθέρας ἐνεργείας, συγκαταστρέφεται καὶ ὁ πολιτικὸς βίος, ἐν ᾧ πρότερον ἐξεπαιδεύετο ὁ πολίτης καὶ ἀνεδεικνύετο. Ἐπαύσαντο δὲ τότε ἀναφαινόμενοι οἱ ἔξοχοι ἐκεῖνοι χαρακτῆρες, οἱ διακοσμοῦντες τὰς σελίδας τῶν πρὸ τῆς αὐτοκρατορίας χρόνων. Περιορισθείσης δὲ τῆς ἐλευθέρας ἐνεργείας οἱ Ῥωμαῖοι εἰς τρυφὴν καὶ ἀπόλαυσιν τῶν ἀγαθῶν τοῦ βίου τραπέντες, εὗρον μὲν ἐν τούτοις στάδιον βιωτικῆς μερίμνης καὶ ἐνασχολήσεως, ἀπώλεσαν ὅμως τὰ ἤθη καὶ τὴν θρησκείαν καὶ ἐγένοντο ὑλόφρονες. Οὐκ ὀλίγην δὲ βλάβην ἐπήνεγκε καὶ ἡ ἀνώμαλος καὶ ἀσύμφωνος τῷ Ῥωμαϊκῷ χαρακτῆρι ἐκπαίδευσις, ἡ εἰσαχθεῖσα τότε εἰς τὴν Ῥώμην, καὶ μάλιστα τὰ διάφορα συστήματα τῆς φιλοσοφίας, εἰς ὧν τὴν σπουδὴν ἡ Ῥωμαϊκὴ νεότης ἐρρίφθη· ἡ διαίρεσις γὰρ καὶ ὁ πολλαπλασιασμὸς τῶν γνωμῶν ἔρριψεν ἐν μέσῳ τῶν Ῥωμαίων τὴν ταραχὴν καὶ σύγχυσιν, ἐκλόνισε τὸν νοῦν καὶ ἀπέσεισε πάντα χαλινόν. Ἐχούσης δὲ ὑπόπτως τότε τῆς ἀληθοῦς παιδείας πρὸς τοὺς αὐτοκράτορας, ὁ σοφὸς καὶ εὔγλωττος οὐκ ἐπεδείκνυε τὴν σοφίαν καὶ δύναμιν τῶν λόγων ἐκ φόβου μὴ ἐπισπάσηται ἑαυτῷ τὸν φθόνον καὶ τὴν ὀργήν. Ὁ γὰρ Μοντανὸς ὑπὸ Τιβερίου τῆς Ῥώμης ἐξωρίσθη,

πυρὶ δὲ ὁ τοῦ Σκαύρου λόγος καὶ αἱ τοῦ Κρεμουτίου Κόρδου συγγραφαὶ παρεδόθησαν, ὁ δὲ Σενέκας ἐφονεύετ' ἂν ὑπὸ Καλλιγούλα, ὅτι αὐτοῦ παρόντος ἀπήγγειλε λόγον παρὰ τῶν συγκλητικῶν ἐπαινεθέντα, εἰ μὴ ἐσώζετο ὑπὸ γυναίου βεβαιώσαντος, ὅτι ὁ ῥήτωρ, νόσῳ τοῦ στήθους τηκόμενος, ἔμελλε ταχέως ἀποθανεῖν. Ἡ γὰρ Ῥωμαϊκὴ εὐγλωττία θεμελιωθεῖσα ἐπὶ τὴν ἐλευθερίαν ἐσχηματίσθη καὶ ἀνεπτύχθη ὑπὸ τὴν ζωηφόρον καὶ γλυκεῖαν τῆς δημοκρατίας αὔραν· ἴδιον γὰρ τῶν καλῶν ἐκείνων χρόνων ἦν τὸ θάρρος καὶ ἡ τόλμη καὶ διὰ τούτων, παντὸς κωλύματος ἐκποδὼν τεθέντος, ὑψώθη τὸ πνεῦμα καὶ ἔργα παρήχθη σπουδαῖα. Ἐπὶ τῶν αὐτοκρατόρων ὅμως ὑπόπτως τῶν πραγμάτων ἐχόντων, ἔδει τούς τε λέγοντας καὶ γράφοντας ἢ περικαλύπτειν, ἢ διαστρέφειν τὴν ἀλήθειαν. Κρεμούδιος γὰρ Κόρδος διεβλήθη ὡς ἐπαινέσας ἐν ταῖς ἱστορίαις τὸν Βροῦτον, τὸν δὲ Κάσσιον ἔσχατον καταλέξας τῶν Ῥωμαίων, πυρὶ δέ, ὡς ἄνω εἴδομεν, παρεδόθησαν αἱ συγγραφαὶ αὐτοῦ.

§ 14. Οὕτω δέ πως εἶχε τότε, ὡς ἐν εἰκόνι εἴδομεν, τὰ τῆς Ῥώμης ἠθικῶς τε καὶ πολιτικῶς· τὸ γὰρ μέγα καὶ καλὸν τοῦ Ῥωμαϊκοῦ λαοῦ μνημεῖον, τὸ ἐπὶ μακροὺς αἰῶνας καὶ διὰ πολλῶν ἐξαιρέτων τεχνιτῶν ἱδρυθέν, ἤρξατο καταρρέον. Εἶδον τοῦτο μετ' ἄλγους ἔξοχα πνεύματα, ὡσεὶ μετέωρα περὶ τούτους τοὺς χρόνους τὸν Ῥωμαϊκὸν ὁρίζοντα διαδραμόντες, καὶ ἀπεπειράθησαν ἀνακόψαι διὰ προχωμάτων τὸν κατερχόμενον χείμαρρον. Ἐν τοῖς πρώτοις δὲ τῶν προμάχων, τῶν διαγνόντων τὴν κοινωνικὴν νόσον καὶ πειραθέντων τὴν ταύτης ἀποστρέψαι βλάβην ἐγέ-

νοντο Σενέκας ὁ φιλόσοφος καὶ Κοϊντυλιανὸς ὁ ῥήτωρ. Καὶ ἐκεῖνος μὲν ἐπισκοπῶν τὴν διαφθορὰν τῶν συγχρόνων, ἐπεχείρησεν, ἐκ θεωρητικῆς ἀπόψεως ὁρμώμενος, ἀναστεῖλαι τὸ κακὸν διὰ φιλοσοφικῆς διδασκαλίας ἐπιτηδείας πρὸς τὸ μορφῶσαι τοὺς Ῥωμαίους πνευματικῶς καὶ ἠθικῶς, οὗτος δέ, πρακτικώτερος καὶ τοῦ Ῥωμαϊκοῦ χαρακτῆρος γνώστης ἀκριβής, ἐζήτησε διαπλάσαι τὰ τῶν νέων ἤθη δι' ἠθικῆς καὶ πνευματικῆς τελείου ῥήτορος παιδεύσεως. Ὤετο γὰρ Κοϊντυλιανὸς τὴν διὰ τῆς ῥητορικῆς παιδαγώγησιν τῆς Ῥωμαϊκῆς νεότητος ἐπιτηδείαν πρὸς βελτίωσιν τοῦ ὅλου λαοῦ, τοὺς δὲ πρὸς τοῦτο καιροὺς οὔπω παρελθόντας. Καὶ ἦν μὲν ἀληθές, ὡς ἐν τοῖς ἄνω ἐμνημονεύσαμεν, ὅτι, μεταβληθείσης τῆς πολιτείας, καὶ ἡ ἐλευθέρα τοῦ ῥήτορος σταδιοδρομία περιωρίσθη οὐ μικρόν, ἀπελείφθη ὅμως καί τι δυνάμενον ὡς ζύμη ὅλον τὸ κοινωνικὸν φύραμα ζυμῶσαι. Ἡ γὰρ ἐν ταῖς τότε σχολαῖς παίδευσις, ῥητορικὴ οὖσα, περιελάμβανε τὴν καθόλου μάθησιν, τουτέστι πᾶσαι αἱ γνώσεις καὶ αἱ ἐπιστῆμαι, μηδ' αὐτῶν τῶν μαθηματικῶν καὶ τῆς γυμναστικῆς καὶ μουσικῆς ἐξαιρουμένων, ἦσαν τῆς τοῦ ῥήτορος τέχνης θεραπαινίδες. Ἀλλὰ καὶ τῇ πολιτείᾳ ζηλωτῶς ἔτι καὶ ἐπιφθόνως διέκειτο ἡ ῥητορική· διαφέρουσαι γὰρ ἦσαν ἔτι αἱ πολιτικαὶ τῆς συγκλήτου συζητήσεις, καὶ αἱ δημοσίᾳ ὑπὸ τὴν προεδρίαν τοῦ αὐτοκράτορος πολλάκις γινόμεναι διαδικασίαι· ἐκεῖ δὲ παρίσταντο οὐ μόνον οἱ τὰς ἐπαρχίας διοικοῦντες εὐθύνας τῶν πεπραγμένων ὑποσχεῖν, ἀλλὰ καὶ αὐτοὶ οἱ βασιλεῖς, ὑπὸ τὴν πατρωνίαν εὐγλώττου δικηγόρου τιθέ-

μενοι.[1] Διὰ δὲ τὰς πολλὰς καὶ ἀπεράντους τῆς Ῥώμης κτήσεις πολλὰ ἦν καὶ τὰ συμφέροντα καὶ ἔργα αὐτῆς· μὴ δὲ ἐπαρκοῦντος τοῦ αὐτοκράτορος περὶ πάντων βουλεύεσθαι, ἀνετέθη τῇ συγκλήτῳ τὸ πλεῖστον ἡ τούτων φροντίς. Ἐπαρχίαι τοίνυν καὶ χῶραι, πόλεις καὶ κοινότητες τοῦ συμφέροντος χάριν ἀνεφέροντο τῇ συγκλήτῳ, καὶ ταύτης τὴν κρίσιν δι' εὐγλώττων δικηγόρων ἀπεξεδέχοντο.[2] Τούτων οὖν ἁπάντων ἕνεκα ἡ ῥητορικὴ ἦν καὶ κατὰ τοὺς χρόνους τοῦ Κοϊντυλιανοῦ ἀναγκαία, καὶ περὶ ταύτην ὡς περὶ ὑπόβαθρον πρὸς τιμὴν καὶ δόξαν ἐνησχολοῦντο οἱ τῶν Ῥωμαίων παῖδες.

§ 15. Πεποιθὼς δ' ὁ Κοϊντυλιανός, ὅτι πᾶσαν τῆς νεότητος διδασκαλίαν προσήκει εἶναι σύμφωνον οὐ μόνον τῇ ἰδίᾳ ἑκάστου φύσει, ἀλλὰ καὶ τῷ ἐθνικῷ χαρακτῆρι, πειρᾶται διδάξαι τοὺς νέους κατὰ τὰς ἀρχὰς τὰς δοξασάσας καὶ μεγαλυνάσας τοὺς Ῥωμαίους. Πρόκειται μὲν ὡς σκοπὸς τοῦ συγγραφέως ἡ ῥητορικὴ τοῦ Ῥωμαίου διαμόρφωσις, ἀλλ' ἡ ἐπιτυχία ταύτης ἐξαρτᾶται καὶ ἐκ τῆς ἠθικῆς αὐτοῦ διαπλάσεως. Ἀποβλέπει μὲν ὁ Κοϊντυλιανὸς εἰς τὴν κορυφήν, ὡς εἰς στέγασμα τοῦ οἰκοδομήματος, φροντίζει δὲ πρότερον περὶ στερεῶν καὶ ἀσείστων βάσεων. Ὁ Κοϊντυλιανὸς ζητεῖ ἐπαναγαγεῖν τὴν ῥητορικὴν εἰς τὴν ἀρχαίαν εὔκλειαν καὶ δόξαν, ἐξ ἧς ἕνεκα λό-

1 Παρὰ Σουετωνίῳ, φέρ' εἰπεῖν, ἀναγινώσκεται, ὅτι καὶ αὐτὸς ὁ ὕστερον Καῖσαρ Τιβέριος συνηγόρησε τῷ τῆς Καππαδοκίας βασιλεῖ Ἀρχελάῳ, Αὐγούστου προεδρεύοντος. [Souet. Tib. 8].

2 E. Bonnell. Quintil. inst. orator. liber X ἐν τῷ προλόγῳ. Berlin 1873.

γων πολιτικῶν, ὡς εἴδομεν ἐν τοῖς ἄνω, ἐξέπεσε· τούτου δέ, πιστεύει, ὅτι δύναται ἐπιτυχεῖν, εἰ ὁ ῥήτωρ περικοσμεῖται ἁπάσαις ταῖς πολιτικαῖς καὶ ἰδιωτικαῖς ἀρεταῖς· καίπερ δ' ἐπεκτείνων τὴν περιφέρειαν τῶν γνώσεων τοῦ χρηστοῦ ῥήτορος, οὐ διασπᾷ ὅμως τὸ κέντρον τῆς ἑνότητος, ὅπερ ἐστὶν ἡ ἠθικὴ μόρφωσις τοῦ ἀνθρώπου, ὡς μέλους τῆς κοινωνίας.[1] Ποθῶν δὲ τὴν διάπλασιν τῆς πατρίδος ἠθικῶς καὶ πολιτικῶς ἐζήτησε μορφῶσαι τὰ ὄργανα, ἅτινα ἔκρινεν ἐπιτήδεια πρὸς τὸν μέγαν τοῦτον καὶ ὑψηλὸν σκοπόν, τοὺς ῥήτορας. Ἀποβλέπων δὲ πρὸς τὴν τοῦ σύμπαντος λαοῦ ἐκπαίδευσιν καὶ ἠθοποίησιν, βούλεται πρωτίστως ἀπαλλάξαι τὸν ῥήτορα ἀπὸ τῶν ὑποκειμενικῶν φ α ν τ α σ ι ο π λ η ξ ι ῶ ν, αἵτινες διαφθείρουσι τὸν ἐθνικὸν χαρακτῆρα, καὶ ἐκπαιδεῦσαι αὐτὸν διὰ καθαρῶς ἀντικειμενικῶν γνώσεων, αἵτινές εἰσιν αἱ πρῶται, ὑγιεῖς καὶ φυσικαὶ τροφαί, αἷς τὸ κοινωνικὸν σῶμα καταλλήλως τρέφεται, ἐνισχύεται καὶ εἰς ἀκμὴν προάγεται. Καὶ Πλάτων τοιοῦτόν τινα προὔθετο σκοπόν, καὶ τούτῳ Κοϊντυλιανὸς οἰκείως διάκειται. Ὡς γὰρ ὁ δαιμόνιος ἐκεῖνος ὑπέδειξε σύστημα ἐθνικῆς παιδεύσεως καὶ τὰ ἤθη ἠθέλησεν εἰς τὴν ἀρχαίαν ἁπλότητα τοῦ Ἑλληνικοῦ βίου ἐπαναγαγεῖν, οὕτω

[1] Τοιαύτην εἶχεν ὁ Ἀριστοτέλης περὶ τοῦ πολιτικοῦ ἰδέαν «. . . . δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πως τὰ περὶ ψυχήν, ὥσπερ καὶ τοὺς ὀφθαλμοὺς θεραπεύσοντα καὶ πᾶν τὸ σῶμα . . . . θεωρητέον δὲ καὶ τῷ πολιτικῷ περὶ ψυχῆς, θεωρητέον δὲ τούτων χάριν καὶ ἐφ' ὅσον ἱκανῶς ἔχει πρὸς τὰ ζητούμενα· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβοῦν ἐργωδέστερον ἴσως ἐστὶ τῶν προκειμένων. » [Νικομαχ. ἠθικ. Α'. 1102. ά 18—26].

καὶ Κοϊντυλιανὸς ἐπεπόθησε τὴν Ῥωμαϊκὴν κοινωνίαν διὰ τῆς διαπλάσεως προσηκόντων ὀργάνων τὰ ζηλωτὰ τοῦ οἴκου καὶ τῆς ἀγορᾶς προγονικὰ ἤθη διδάξαι.[1]

§ 16. Ζηλωτὴς οὖν Κοϊντυλιανὸς τῶν προγονικῶν ἠθῶν, πειρᾶται κατὰ ταῦτα διαρρυθμίσαι τὴν Ῥωμαϊκὴν νεότητα. Ἐπαινῶν γὰρ οὗτος τὴν πολιτείαν καὶ τὸν χαρακτῆρα τῶν τῆς δημοκρατίας ῥητόρων, προβάλλει τὰ τούτων ἔργα πρὸς μίμησιν τοῖς περὶ τὴν ῥητορικὴν ἀσχολουμένοις. « In oratione vero, λέγει ἐν βιβλίῳ ιβ', si species intueri velis, totidem pæne reperias ingeniorum quot corporum formas. Sed fuere quædam genera dicendi condicione temporum horridiora, alioqui magnam jam ingenii vim præ se ferentia. Hinc sint Lælii, Africani, Catones etiam Gracchi que, quos tu licet Polygnotos vel Callonas appeles. Mediam illam formam teneant L. Crassus, Q. Hortensius. Tum deinde efflorescat non multum inter se distantium tempore oratorum ingens proventus. Hic vim Cæsaris, indolem Caelii, subtilitatem Calidii, diligentiam Pollionis, dignitatem Messalæ, sanctitatem Calvi, gravitatem Bruti, acumen Sulpicii, acerbitatem Cassii reperiemus ; in iis etiam, quos ipsi vidimus copiam Senecæ, vires Africani, maturitatem Afri, jucunditatem Crispi, sonum Trachali, elegantiam Secundi. . . . ». Καὶ κατωτέρω προστίθησιν·

[1] Πρβλ. ὅσα περὶ τούτου Κράμερος λέγει. Geschichte der Erziehung und des Unterrichts τόμ. II σελ. 661.

« An non in privatis et acutus et non asper et non indistinctus et non supra modum elatus M. Tullius? Non in M. Calidio insignis haec virtus? Non Scipio, Lælius, Cato in eloquendo velut Attici Romanorum fuerat? Cui porro non satis est, quo nihil esse melius potest? » (αὐτόθι 10, 39). « M. τοίνυν Κάτων, προσεπιφέρει (11, 23) καὶ στρατηγὸς μέγιστος καὶ σοφός, καὶ ῥήτωρ καὶ τῆς ἱστορίας καὶ τοῦ δικαίου ἱδρυτής, καὶ τῶν τῆς γεωργίας ἐμπειρότατος ἐγένετο. Ἐν μέσῳ τοσούτων ἐν πολέμῳ ἐργασιῶν, τοσούτων ἐν εἰρήνῃ ἐνασχολήσεων, καὶ ἐν αἰῶνι ἀξέστῳ καὶ τραχεῖ, φθίνοντος ἤδη τοῦ βίου, Ἑλληνικὰ γράμματα ἔμαθεν, ἵνα παράδειγμα τοῖς ἀνθρώποις γένηται, ὅτι δύνανται μανθάνειν, ὧν καὶ γέροντες ἐπεθύμησαν. Ὁπόση δ' ἔκτασις γνώσεων τῷ Βάρρωνι; περὶ πολλῶν ἢ μᾶλλον περὶ πάντων ἐπραγματεύθη! Ὁποίου δὲ ῥητορικοῦ προσόντος ἐστερεῖτο ὁ Κικέρων; » « Neque ea solum, quæ talibus disciplinis continentur, sed magis etiam, quæ sunt *antiquitus dicta an facta praeclare,* et nosse et animo semper agitare conveniet. Quæ profecto nusquam plura majoraque quam in nostræ civitatis monumentis reperiuntur. An formitudinem, justitiam, fidem, continentiam, frugalitatem, contemptum doloris ac mortis melius alii docebunt, quam Fabricii, Curii, Reguli, Decii, Mucii aliique innumerabiles? Quantum enim Græci præceptis valent, tantum Romani, quod est majus, exemplis . . . . » κτλ. (ιβ', 2, 29-31). Τὴν ἠθικὴν δὲ τέλος καθαριότητα καὶ πνευματικὴν ἐλευθερίαν θεωρεῖ ὁ

Κοϊντυλιανὸς ὡς τὰ γνήσια τοῦ τελείου ῥήτορος γνωρίσματα. Καὶ ὡς παρ' Ἕλλησι τὸ ὕψιστον ἰδανικὸν ἐν τῇ καθόλου παιδείᾳ ἀναφαίνεται ἐκ τῆς καλῆς ἐναλλαγῆς τῆς ἀληθείας καὶ τοῦ λόγου, τοῦ τρόπου τῆς σκέψεως καὶ τῆς πράξεως, οὕτω παρὰ Κοϊντυλιανῷ ἰδία διὰ τῆς ῥητορικῆς ἐκδηλοῦται ἐλευθέρως τὸ ἀληθὲς καὶ τὸ καλόν, τὸ δίκαιον καὶ τὸ ἀγαθόν.

§ 17. Παραδεχόμενος δὲ Κοϊντυλιανός, (ἵνα λεπτομερέστερον περὶ τούτου διαλάβωμεν) τὸν περὶ ῥήτορος τοῦ Κάτωνος ὁρισμὸν «orator est, vir bonus, dicendi peritus», ἐξαίρει ἐπὶ μεῖζον τὴν ἀρετήν, καὶ νομίζει αὐτὴν ἀναποσπάστως τῇ τοῦ λόγου δεινότητι συνδεομένην.[1] Κάτων, λέγει Κοϊντυλιανός, προτάσσει ἐκ τοῦ ὁρισμοῦ τὴν χρηστότητα, ἐπειδὴ βούλεται ἐπιδεῖξαι τὸ φύσει ἐξοχώτερον. Εἰ ἡ ῥητορικὴ σκοπεῖ διδάξαι τὸ κακόν, ὄντως οὐδέν ἐστι ταύτης ὀλεθριώτερον, οἱ δὲ διδάσκοντες αὐτήν, κακοῦ καὶ βλάβης αἴτιοι, ὡς κακούργοις καὶ οὐχὶ στρατιώταις ὅπλα παρέχοντες.[2] Καὶ αὐτὴ δὲ ἡ φύσις, ἡ τὸν ἄν-

[1] Quintil. XII, 1, 1—πρβλ. Plin. epist. IV, 7, 5 καὶ Sen. controv. præf. 9. «Cato : Orator est, Marce fili, vir bonus, dicendi peritus.» Ἡ ἱστορία ὅμως μνημονεύει, ὡς μὴ ὤφελε, ῥητόρων, δεινῶν μὲν τὸ λέγειν, χρηστότητος δ' ἐστερημένων. Κάτων δὲ καὶ Κοϊντυλιανὸς παραδεχόμενοι τὴν ἀρετὴν ἡνωμένην τῇ εὐγλωττίᾳ, ὑψοῦσι τὴν τέχνην εἰς βαθμὸν ἰδανικόν, καθιστάντες αὐτὴν τῆς ἠθικῆς ἀδιάσπαστον μέρος. Ὁμοίαν δὲ καὶ Φενελὼν εἶχε γνώμην· « L'homme, λέγει, digne d'être écouté est celui, qui ne se sert de la parole, que pour la pensée, et de la pensée que pour la verité et la vertu. » [Lettre à l'Academie française sur l'éloquence, la poesie, etc.].

[2] Πρβλ. τὸ τοῦ Εὐρυπίδου «τὸ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.»

θρωπον τῶν λοιπῶν ζώων διακρίνασα, εἴη ἂν ἄδικος, εἰ ἔδωκεν αὐτῷ τὴν δύναμιν τοῦ λόγου πρὸς τὸ πράττειν τὸ κακόν. Λυσιτελέστερον γὰρ ἂν ἦν στερηθῆναι ἡμᾶς τῆς φωνῆς καὶ τοῦ λόγου, ἢ στρέφειν τὰ τῆς προνοίας δῶρα πρὸς τὸ βλάπτειν ἀλλήλους. Εἰ τοίνυν ὁ ῥήτωρ ἐστὶν ἀνὴρ ἀγαθός, οὗτος οὐ δύναται νοηθῆναι δίχα ἀρετῆς· ἀλλ' ἡ ἀρετή, εἰ καὶ λαμβάνει ὁρμάς τινας παρὰ τῆς φύσεως, δύναται ὅμως τελειοποιηθῆναι διὰ τῆς διδασκαλίας· ἄρα δεῖ τὸν ῥήτορα τὰ ἤθη πρὸ πάντων ταῖς σπουδαῖς διαπλάττειν, καὶ πᾶσαν τὴν περὶ τιμίου καὶ δικαίου παιδείαν ἐκπονεῖν, ἧς ἄνευ οὐδεὶς γενέσθαι δύναται οὔτ' ἀγαθός, οὔτε περὶ τὸ λέγειν δεινός. Παρενείρει δὲ Κοϊντυλιανὸς ἐν τῇ αὐτοῦ συγγραφῇ πολλὰ πρὸς τὸ παιδαγωγῆσαι τὸν μέλλοντα ῥήτορα, διότι θεωρεῖ αὐτὸν ὡς πολιτικὸν ἄνδρα, ᾧ τὰ τῆς πόλεώς ἐστιν ἀνατεθειμένα, ὡς διδάσκαλον τοῦ λαοῦ καὶ διαμορφωτὴν τῶν ἠθῶν. Τούτου δ' ἕνεκα τὴν πᾶσαν φιλοσοφίαν τριχῶς διαιρῶν, εἰς φυσικήν, ἠθικὴν καὶ λογικήν, θεωρεῖ συνδεδεμένην τῷ τοῦ ῥήτορος ἔργῳ.[1] Καὶ

[1] Quintil. XII, 2, 10. Ἡ τοιαύτη τῆς φιλοσοφίας διαίρεσις ἀνήκει τοῖς Στωϊκοῖς. Κατὰ τούτους ἡ μὲν σοφία ἐστὶν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων, ἡ δὲ φιλοσοφία ἄσκησις τέχνης ἐπιτηδείου· ἐπιτήδειος δ' ἐστὶ μία καὶ ἀνωτάτη, ἡ ἀρετή· ἀρετὰς δὲ λέγουσι τὰς γενικωτάτας τρεῖς, φυσικήν, ἠθικὴν καὶ λογικήν, δι' ἣν αἰτίαν καὶ τριμερῆ εἶναι τὴν φιλοσοφίαν, ἧς τὸ μέν, φυσικόν, τὸ δέ, ἠθικόν, τὸ δέ, λογικόν· καὶ φυσικὸν μέν, ὅταν περὶ κόσμου ζητῶμεν, καὶ τῶν ἐν τῷ κόσμῳ· ἠθικὸν δέ, τὸ κατησχολημένον περὶ τὸν ἀνθρώπινον βίον· λογικὸν δέ, τὸ περὶ τὸν λόγον, ὃ καὶ διαλεκτικὸν καλοῦσιν [Πλουτάρχ. περὶ τῶν ἀρεσκ. τ. φιλοσ. βιβλ. α' ἐν προιμίῳ· καὶ Senec. ep. 89.

πρῶτον πολλὰ καὶ καλὰ περὶ τοῦ λογικοῦ τῆς φιλοσοφίας προειπών, προσεπιφέρει ἔπειτα περὶ τῆς ἠθικῆς, «ὅτι δεῖ τὸν ῥήτορα γινώσκειν καλῶς τὸ ἠθικὸν τῆς φιλοσοφίας, ἐπειδὴ ἐν τῇ ποικιλίᾳ τῶν δικῶν ἀναγκασθήσεται οὗτος περὶ παντὸς ὀρθοῦ καὶ αἰσχροῦ διαλαβεῖν, καὶ τὰ μὲν καλὰ ἐπαινέσαι, τὰ δὲ κακὰ ψέξαι. « An de justitia, fortitudine, abstinentia, temperantia, pietate non plurima dicet orator? Sed ille vir bonus, qui haec non vocibus tantum sibi nota atque nominibus aurium tenus in usum linguae perceperit, sed qui virtutes ipsas mente complexus ita sentiat, nec in cogitando laborabit et, quod sciet, vere dicet. »[1] «Ἡ φυσικὴ φιλοσοφία, ἐπιλέγει Κοϊντυλιανός, πολλῷ τῶν ἄλλων ἐστὶ πλουσιωτέρα, ἐπειδὴ τὸ περὶ τῶν θείων πραγματεύεσθαι μείζονος νοῦ χρῄζει, ἢ τὸ περὶ τῶν ἀνθρωπίνων. Τοιαύτη δ' οὖσα περιλαμβάνει ἐν ἑαυτῇ καὶ πᾶσαν τὴν ἠθικήν, ἧς ἄνευ οὐδεὶς ῥητορικὸς λόγος γενέσθαι δύναται. Εἰ γὰρ ἡ πρόνοια τὸν κόσμον διοικεῖ, καὶ ἥγε πόλις τοῖς ἀγαθοῖς διοικητέα ἀνδράσιν· εἰ δ' ἡ τῶν ἡμετέρων ψυχῶν καταγωγὴ θεία ἐστί, χρὴ ἡμᾶς τῆς ἀρετῆς ὀρέγεσθαι, καὶ μὴ ταῖς τοῦ σώματος ἐπιθυμίαις δουλεύειν. Ἢ περὶ τούτων οὐχὶ συνεχῶς ὁ ῥήτωρ ἐρεῖ; Ἢ οὐ χρὴ τὸν ῥήτορα περὶ οἰωνῶν καὶ μαντευμάτων καὶ περὶ παντὸς θρησκευτικοῦ πράγματος λέγειν, περὶ ὧν πολλάκις ἐν τῇ συγκλήτῳ τὰ μέγιστα τῶν βουλευμάτων συνεζητήθη; εἰκότως, ὡς ἐμοὶ δοκεῖ, εἴπερ οὗτος καὶ πολιτικὸς ἀνὴρ μέλλει γενέσθαι. »[2] Ἐν

[1] Quintil. XII, 2, 15 καὶ ἑξῆς.
[2] Αὐτόθ. XII, 2, 20—22.

δὲ τῷ τρίτῳ κεφαλαίῳ καταριθμεῖ τοὺς πιθανωτέρους λόγους, δι' οὓς ἡ τοῦ πολιτικοῦ δικαίου ἐπιστήμη ἀναγκαία τῷ τελείῳ ῥήτορι τυγχάνει οὖσα, καὶ μνημονεύει ῥητόρων διασήμων, οἵ, δεινότατοι περὶ τὸ λέγειν, ἦσαν σύναμα καὶ τῶν νόμων καὶ τοῦ δικαίου ἐμπειρότατοι.[1] Πρὸς δὲ πᾶσι τούτοις καὶ τὴν τῆς ἱστορίας γνῶσιν νομίζει εἶναι ἀναγκαίαν τῷ τελείῳ ῥήτορι· προσήκει δὲ τούτῳ οὐ μόνον τὴν ἀρχαίαν καὶ νεωτέραν ἱστορίαν γινώσκειν, ἀλλὰ καὶ αὐτῶν τῶν παρ' ἐνδόξων ποιητῶν πεπλασμένων διὰ μνήμης ἔχειν, καὶ τὰ καθ' ἑκάστην ἡμέραν συμβαίνοντα μανθάνειν· πάντα γὰρ ταῦτα καὶ δύναμιν καὶ τάξιν μαρτυριῶν καὶ κρίσεων ἔχει. Ταῦτα τοίνυν ἐστί, δι' ὧν Κοϊντυλιανὸς ἐπιζητεῖ τὸν νοῦν καὶ τὴν καρδίαν τοῦ ῥήτορος παιδεῦσαι καὶ περικοσμῆσαι,ὄντως πολλὰ καὶ μεγάλα καὶ τοῖς μάλιστα πεπαιδευμένοις καὶ πολυΐστορσιν ἴδια. Διὰ τοῦτο δὲ ὑποπτεύων οὗτος, μή τις νομίσῃ τὰ εἰς παίδευσιν τελείου ῥήτορος πρὸς ὑπερβολὴν λέγεσθαι, ἐπιφέρει τάδε· » ἂν δὲ φαίνωμαί τινι πολλὰ ἀπαιτῶν, σκεψάσθω, ὅτι ὁ λόγος ἡμῖν περὶ ῥήτορός ἐστι, πρᾶγμα χαλεπόν, καί, μηδενὸς ἐλλείποντος πρὸς τελείαν κατάρτυσιν, ὑπολείπεται ὕστερον πλείω καὶ χαλεπώτερα. Χρῄζει γὰρ οὗτος καὶ συνεχοῦς ἐπιμελείας καὶ διδασκάλων ἐξόχων καὶ γνώσεων ποικίλων. Τούτων οὖν ἕνεκα δεῖ μὲν ἡμᾶς τὰ βέλτιστα παραινεῖν, εἰδέ τις ταῦτα χαλεπῶς φέρει, ἐνδεὴς ὁ ἄνθρωπος, οὐχ ὁ λόγος ἐστίν. »[2]

[1] Ἴδε καὶ Κικέρ. de oratore I, 55.–Κατὰ τὸν Γέλλιον [Ἀττικῶν νυκ. I, 22, 7] ὁ Κικέρων συνέγραψε καὶ περὶ τοῦ συστήματος τοῦ πολιτικοῦ δικαίου. [2] Quintil. I, 10—11.

§ 18. Ἀλλ᾽ ἄν τις ἀρνῆται, ὅτι σκοπὸς τῆς Κοϊντυλιανείου συγγραφῆς ἦν τὸ ἐπανορθῶσαι τὸν οἰκιακὸν καὶ δημόσιον τῶν Ῥωμαίων βίον, τεκμηρίῳ πρὸς τοῦτο χρώμενος, ὅτι οὐκ εὐθὺς σπουδαῖον καὶ πρακτικὸν παρήχθη ἀποτέλεσμα, οὐκ ὀρθῶς φρονεῖ. Ὡς γὰρ ὁ σῖτος, ἵνα ῥιζώσῃ καὶ καρποφορήσῃ, χρείαν ἔχει πλὴν ἄλλων καιρῶν καὶ γῆς μάλιστα ἀγαθῆς, οὕτω καὶ αἱ ἰδέαι, ἵνα λάβωσι σύστασιν καὶ κατορθωθῶσιν, ἀπαιτοῦσι σὺν τοῖς δεξιοῖς καιροῖς καὶ λαοὺς καταλλήλους πρὸς τοῦτο, καὶ οὐχὶ οἷος ἦν ὁ τῆς Ῥώμης ἐπὶ τῶν αὐτοκρατόρων. Εἰ δὲ οὐκ ἐπετεύχθη ὁ σκοπός, ὃν Κοϊντυλιανὸς προὔθετο, διαμένει ὅμως τὸ τούτου ἔργον ἐξ ἁπάσης τῆς ἀρχαιότητος πλείστου λόγου ἄξιον διά τε τὸ διδακτικὸν καὶ παιδαγωγικόν, «ἅπαντες δ᾽ ἂν ἀπολαύσειαν οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου διανοίας.» Θαυμαστὸν δὲ πάλιν καὶ ὅλως ἄτοπόν ἐςιν, ὡς Γεδίκιος φαίνεται πράττων, τέλειον καὶ πλῆρες παιδαγωγικὸν σύστημα τοῦ ἡμετέρου συγγραφέως προσδοκᾶν· τοιαύτη γὰρ δή που προσδοκία καὶ ἀπαίτησις ἦν μὲν ἂν ἔξω τοῦ προκειμένου, ἀσύμφωνος δὲ τῷ ἐν στενοῖς ὁρίοις διαγεγραμμένῳ σχεδιάσματι τῆς συγγραφῆς. Σκοπὸς γὰρ τῆς Κοϊντυλιανείου συγγραφῆς ἦν, ὡς καὶ ἐκ τῆς ἐπιγραφῆς δῆλον, ἡ ῥητορικὴ τοῦ νέου παίδευσις, καὶ τοῦτο τὸ θέμα σοφῶς καὶ σπουδαίως φαίνεται ὁ Κοϊντυλιανὸς πραγματευθείς.

§ 19. Καταβάλλων δ᾽ ὁ Κοϊντυλιανὸς τοὺς καλλίστους καὶ ἀσφαλεστάτους τῶν θεμελίων, ὅσοι πρὸς διαμόρφωσιν ῥήτορος συντελοῦσιν, οὐκ ἀμνημονεῖ, ὡς ἐν τοῖς ἑξῆς δηλωθήσεται, καὶ τῆς ὀρθῆς καὶ ἀκρι-

βοῦς τοῦ νέου παιδαγωγίας. Συνελόντι δ' εἰπεῖν, ὁ ἡμέτερος συγγραφεὺς πανταχοῦ τῆς αὑτοῦ συγγραφῆς διακρίνει ἐν τῷ ῥήτορι κατὰ πρῶτον τὸν ἄνθρωπον, καὶ οὐ παύεται παραινῶν τὰ πρὸς κατάρτυσιν αὐτοῦ συντελοῦντα. Ἡ ἠθική, φρονεῖ Κοϊντυλιανὸς, ἡ βάσις ἐστίν, ἐφ᾽ ἧς πᾶσα ἀληθὴς μόρφωσις ἐπιστηρίζεται. Δείκνυσι δ᾽ ἔπειτα διὰ ποικίλων τρόπων τὴν πρὸς τοῦτο φέρουσαν ὁδόν, διαγράφει ἀληθεῖς καὶ ἐπιστημονικοὺς κανόνας καὶ συνάγει ὀρθὰ κατὰ τὸ μᾶλλον, ἢ ἧττον συμπεράσματα. Καί τοι δὲ διὰ τῆς ἰσχυρᾶς ἐντάσεως τῆς φιλοτιμίας καὶ ἁμίλλης, μάλιστα δὲ διὰ τῆς φιλοδοξίας, καθαρῶς διαδείκνυται ὁ Ῥωμαῖος, (ἤτοι ὁ παρὰ Ῥωμαίοις ἴδιος τοῦ κρίνειν καὶ αἰσθάνεσθαι τρόπος), διαφαίνεται πάλιν καθαρότης καὶ ὕψος χριστιανικῆς, οὕτως εἰπεῖν, ἐποπτείας ἐν ταῖς συνεχῶς ὑπὸ τοῦ Κοϊντυλιανοῦ παρεχομέναις τῷ διδασκάλῳ ὁδηγίαις καὶ συμβουλαῖς, ἵνα δηλαδὴ οὗτος συμπεριφέρηται πρὸς τοὺς μαθητὰς μετὰ πατρικῆς στοργῆς καὶ ἀγάπης.[1] Τούτοις δὲ συνέχεται τὸ πρᾷον καὶ φιλάνθρωπον τοῦ ἀνδρός, τὸ ἡδέως θερμὸν καὶ οἰκεῖον τοῦ πάθους, ὡς ταῦτα ἀπεικονίζεται διὰ τρόπου ἐπικλῶντος εἰς οἶκτον τοὺς ἀναγινώσκοντας, ἐν τῇ ἐξιστορήσει τοῦ προώρου θανάτου τῆς γυναικὸς καὶ τῶν δύω φιλτάτων υἱῶν.[2] Ὁ αὐτὸς δ᾽ ἑτέρως πῶς

[1] Quintil. II, 2, 4—5. « Sumat igitur ante omnia parentis erga discipulos suos animum, ac succedere se in eorum locum, a quibus sibi liberi tradantur, existimet. »

[2] Ὁ οἰκιακὸς τοῦ Κ. βίος ἐγένετο πλήρης πικρίας καὶ συμφορῶν· ἔκλαυσε γὰρ ἐπὶ τῷ τάφῳ νέας καὶ σώφρονος γυναικός, καὶ ἐθρήνησεν ἐπὶ τῷ θανάτῳ τῶν δύο αὐτοῦ υἱῶν, ἐφ' οἷς ἡδέως ἤλπισε.

διεξελίττει τὴν καθαρωτάτην ψυχολογικὴν διάνοιαν, τὸν βαθύτατον περὶ τὴν πρᾶξιν νοῦν, ὅλως δὲ ὑγιαίνουσαν κρίσιν καὶ πλοῦτον ἐμπειρίας δυνάμενον μόνον πρὸς τὴν εὐρεῖαν καὶ ἄφθονον τοῦ ἀνδρὸς πολυμάθειαν παραβληθῆναι. Ὅτι δ᾽ ὅμως ἐνιαχοῦ ἴσως ἐλλείπει ἀκριβεστέρα τις συνέπεια, θετικαὶ δ᾽ ἔννοιαι καὶ γνῶμαι οὐ μετὰ τῆς δεούσης ἐκτίθενται αὐστηρότητος (ὡς φέρ᾽ εἰπεῖν αἱ περὶ τῆς οὐσίας τῶν φυσικῶν ἰδιοτήτων καὶ τῶν παιδαγωγικῶν ποινῶν), κενὰ δέ τινα ἀνευρίσκεται συμπληρώσεως χρῄζοντα, ταῦτα χρὴ μὲν ἡμᾶς μὴ ἀρνεῖσθαι, ἀλλὰ καὶ μὴ θεωρεῖν ὡς βαρεῖαν κατὰ τοῦ συγγραφέως αἰτίαν.

§ 20. Ἐν τῷ συγγράμματι αὐτοῦ ἐπιχειρεῖ ὁ Κοϊντυλιανὸς καταγράψαι συστηματικῶς τὰ ἐξαγόμενα

Τούτου δ' ἕνεκα τὸν μελετῶντα τὸ περὶ ῥητορικῆς τοῦ Κ. ἔργον ἀνάγκη ἐκεῖ δή που στῆναι, οὐχ ὅπως ἀναπαύσηται, ἀλλ' ὅπως συμπενθήσῃ ἀτυχεῖ συζύγῳ καὶ πατρί. Διηγεῖται δὲ τὰς οἰκογενειακὰς αὐτοῦ συμφορὰς ἐν ἀρχῇ τοῦ ἕκτου βιβλίου κατανυκτικώτατα καὶ διὰ τρόπου οὐχὶ συνήθους ἐν τῇ ἀρχαιότητι. Ἀλλ' ὁ Κ. περιγράφων τὰ οἰκιακὰ αὐτοῦ δυστυχήματα προτίθεται καὶ παιδαγωγικὸν σκοπόν, διότι ὑποδεικνύει τὰς ἐπιστήμας ὡς τὴν μόνην παραμυθίαν τοῦ πόνου καὶ τῆς λύπης· « Sed vivimus, et aliqua vivendi ratio querenda est, credendum que doctissimis hominibus, qui unicum adversorum litteras putaverunt » (Quintil. VI ἐν προοιμ. 14). « Ἐν τῷ θρήνῳ, λέγει ὁ Κάμερος, τῷ ἕνεκα ταύτης τῆς πικρᾶς ἀπωλείας, ὅστις ὑπὸ πολλὰς ἐπόψεις προξενεῖ ἐντύπωσιν, καὶ διότι ἐν αὐτῷ ὑποδεικνύονται αἱ ἐπιστῆμαι, ὡς ἡ μόνη παραμυθία τοῦ πόνου καὶ τῆς λύπης, ἐν τῷ θρήνῳ, λέγω, τούτῳ δηλοῦται καὶ τοσαύτη ἐγκάρδιος πατρικὴ ἀγάπη καὶ βαθύτης ψυχικῆς γλυκυθυμίας, οἵας σπανιώτατα ἀπαντᾷ τις ἐν τῇ ἀρχαιότητι καὶ δὴ περὶ τοὺς χρόνους τοῦ Τακίτου. » (Cram. Erz. κτλ. σελ. 661, σημ. 2030).

τῆς πείρας καὶ παρατηρήσεως, ἅτινα καὶ ὡς ῥήτωρ καὶ ὡς διδάσκαλος τῆς ῥητορικῆς ἀπὸ πολλοῦ χρόνου ἐναπεταμίευσε τῇ μνήμῃ. Ἀνὴρ ὅλον τὸν βίον ἐν τῷ διδάσκειν διανύσας, ἠδύνατο μόνον εἰπεῖν, ὅσα οὗτος ἐν τῇ δωδεκάτῃ βίβλῳ « tum operae pretium venit, cum inter se congruunt praecepta et experimenta », ἤγουν, τότε δύναταί τις προὔργου τι ἐλπίζειν, ὅτε θεωρία καὶ πρᾶξις συμβαδίζουσι. » Φαίνεται δ᾽ ἐκ τούτου τοῦ ἔργου, ὅτι Κοϊντυλιανὸς κάλλιστα ἐγίνωσκε τὰς ἐλλείψεις καὶ τὰ προτερήματα τῶν συγχρόνων. Γράφων γὰρ ἐν ἀρχῇ τοῦ ἕκτου βιβλίου περὶ τῶν αἰτίων τῆς πτώσεως τῆς ῥητορικῆς, διδάσκει τοὺς ὁμιλητάς, καὶ καταλέγει οὐ μόνον τὰ σφάλματα τῶν πρὸ καὶ ἐπ᾽ αὐτοῦ ῥητόρων, ἀλλὰ καὶ τὰς ἀρετάς, καὶ ὡς ἄριστος διδάσκαλος καὶ παιδαγωγὸς ἀποτρέπει μὲν τοὺς νέους ἀπ᾽ ἐκείνων, προτρέπει δὲ εἰς μίμησιν τούτων. Μετριόφρων δέ, οὐδόλως διστάζει εἰπεῖν, ὅτι ἐν τῷ ὑπὲρ τῆς βασιλίσσης Βερενίκης ἀπολογητικῷ ἠκολούθησε τῷ Κικέρωνι.[1] Ἐξαρτᾷ τοίνυν τὴν ἐπιτυχίαν τῆς δίκης ἐκ τῆς ἐντυπώσεως, ἣν αὐτὴ ἡ ὑπόθεσις παράγει ἐπὶ τοῦ πνεύματος τῶν δικαστῶν, ἐκ τῆς προσωπικῆς τοῦ λέγοντος ἀξίας, ἐκ τῶν ἐλλείψεων τοῦ ἀντιπάλου καὶ ἐξ αὐτῶν τῶν δικαστῶν. Ὅτε δὲ κοινῶς μετ᾽ ἄλλων ὑπερησπίζετο δίκην, αὐτῷ ἀνετίθετο πάντοτε ἡ ὑπόθεσις.[2] Συνεκινεῖτο δὲ τοσοῦτον, ὥστε πολλάκις καὶ τὸ χρῶμα τοῦ προσώπου ἠλλοιοῦτο καὶ δάκρυα ἔρρει ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.[3]

[1] Quintil. IV, 1, 19.

[2] Αὐτόθ, IV, 2. [3] Αὐτόθ.

[4] Βιβλ. II, καὶ X, 1.

Μετερχόμενος δ' ἐντίμως καὶ εὐσυνειδήτως τὸ τοῦ ῥήτορος ἔργον, ἀφῆκεν αὐτό, καὶ ἐπεδόθη τῇ διδασκαλίᾳ τῆς νεότητος.[4] Καὶ ὡς διδάσκαλος τῆς νεολαίας σπουδαῖος ἐγένετο. Εἰδὼς γὰρ κάλλιστα, ὅτι ἄνευ ἀναπτύξεως τῆς ἀτομικότητος οὐδεμία προσγίνεται πρόοδος ἔν τε ταῖς τέχναις καὶ ἐπιστήμαις, ἀνεβάλετο τὴν μόρφωσιν τοῦ παιδός, ἀρξάμενος ἀπὸ τῆς γεννήσεως αὐτοῦ, καὶ ὑπὸ τῆς πείρας πατρὸς καὶ διδασκάλου ὁδηγούμενος, κατέστρωσε τὰς παιδαγωγικὰς ἀρχὰς σαφῶς καὶ εὐλήπτως.

§ 21. Πάντως ὅμως αἱ ἀρεταὶ τῆς συγγραφῆς ταύτης τοσούτῳ πολυάριθμοι καὶ σπουδαῖαι τυγχάνουσιν, ὥστε διὰ τούτων ἱκανῶς ἐκδηλοῦται ἡ τιμή, ἧς Κοϊντυλιανὸς ἠξιώθη ἤδη καὶ ἐν τοῖς συγχρόνοις.[1] Πλὴν δὲ τούτων ὀφείλομεν εἰπεῖν, ὅτι καὶ ἐν ταῖς εὐθὺς ἐχομέναις ἑκατονταετηρίσι προΐστατο ὁ ἀνὴρ τῶν ῥητορικῶν σπουδῶν, καὶ πρὸς τῷ Κικέρωνι καὶ ἴσως πλέον τούτου εἶχε σπουδαῖον κῦρος, μέχρις οὗ ὕστερον ἐν τῷ ἑνδεκάτῳ αἰῶνι μετὰ καὶ ἄλλων ὀνομάτων δοκίμων συγγραφέων καὶ τὸ τοῦ Κοϊντυλιανοῦ ἠφανίσθη. Πρῶτον δὲ ἀρχομένου τοῦ πεντεκαιδεκάτου αἰῶνος ἐξέρχεται οὗτος ἐκ τοῦ σκότους καὶ τῆς ἀφανείας εἰς τὸ φῶς καὶ εὐθὺς τάσσεται καὶ πάλιν ἐν τῇ χορείᾳ τῶν ἀναγινωσκομένων συγγραφέων.[2]

[1] Martial III, 90.

Quintiliane vagæ moderator summe juventæ
Gloria Romanæ, Quintiliane, togæ.

[Πρβλ. καὶ Πλιν. epist. II, 14, 9.-VI, 6, 3].

[2] Poccio Bracciolini (Gian Francesco) ἐπίσημος Ἰταλὸς χουμανίστης, γεννηθεὶς τὸ 1380 ἐν τῷ παρὰ τῇ Φλωρεντίᾳ Τερρανόβῳ

§ 22. Αὕτη δὲ ἡ ἐπαναληφθεῖσα τοῦ Κοϊντυλιανείου συγγράμματος σπουδὴ ἀνταπεκρίνετο, ὡς φαίνεται, τῇ συντόνῳ ἐπιμελείᾳ, ἣν δῆλον, ὅτι εἶχον τότε οἱ καλούμενοι Χουμανισταί,[1] οἱ διδάσκοντες ἔν τε

[Terranuovo]· ἐγένετο γραμματεὺς τῆς παππικῆς αὐλῆς καὶ συμπαρηκολούθησεν Ἰωάννῃ τῷ ιγ΄ τὸ 1414 εἰς τὴν ἐν Κωνσταντίᾳ σύνοδον· περιελθὼν δὲ τὴν Ἐλβετίαν καὶ Γερμανίαν, ἀνεῦρεν ἐν τῇ ὀνομαστῇ τοῦ St. Gallen μονῇ πλὴν τοῦ Πλαύτου καὶ ὀκτὼ τοῦ Κικέρωνος λόγων καὶ ἓν πλῆρες σχεδὸν τῆς Oratoriæ institutionis τοῦ Κοϊντυλιανοῦ χειρόγραφον. [Poccii epist. V, 8 καὶ τόμ. 20 du recuil τοῦ Mr. Muratori]. Ἡ εὕρεσις τοῦ χειρογράφου τούτου ἐξήγειρε τὰ πνεύματα καὶ ἐνέβαλε τὸν πρὸς τὰ γράμματα καὶ τὴν ῥητορικὴν πόθον. Ἤρξαντο οὖν ἀντλοῦντες καὶ πάλιν ἐκ τοῦ Κοϊντυλιανοῦ τοὺς τῆς ῥητορικῆς κανόνας καὶ σχολιάζοντες τὸν Κικέρωνα, οὗ τὰ ἔργα ἦν τότε σπάνια. Ἐκ τῆς ἀναπτύξεως δὲ καὶ ἀπανθίσεως τῶν δύο τούτων ῥητόρων, προῦκυψεν ἡ πολυμάθεια ἡ ἐξογγώσασα τὰ ῥητορικὰ συγγράμματα τοῦ Cavalcanti, τοῦ Barthius, τοῦ Soares, τοῦ Vossius καὶ πολλῶν ἄλλων. Τὸ χειρόγραφον δ᾽ ἐκεῖνο λέγουσιν, ὅτι κεῖται ἔτι καὶ νῦν ἐν τῇ Λαυρεντιανῇ τῆς Φλωρεντίας βιβλιοθήκῃ. Εἴδομεν δὲ καὶ ἡμεῖς τὸ παρελθὸν ἔτος χειρόγραφον τοῦ Κοϊντυλιανοῦ ἐν τῷ τῆς Ζυρίχης πανεπιστημίῳ, τοῦ σοφοῦ καθηγητοῦ κ. A. Hug πάνυ εὐγενῶς καὶ φιλοτίμως τοῖς ὁμιληταῖς αὐτοῦ τοῦτο παρέχοντος πρὸς τὸ διασαφηνῖσαι καὶ διαλευκᾶναι ἡμαρτημένα τινὰ χωρία, μάλιστα δὲ πρὸς τὸ ἀσκεῖσθαι τούτους εὐπετῶς ἀναγινώσκειν τὰ ἀρχαῖα χειρόγραφα. Διατηρεῖται δὲ τὸ χειρόγραφον, ὡς μνήμην τούτου ἔχω, σχεδὸν ἀλώβητον καὶ φέρει σημειώσεις ξένης χειρὸς ἐν τοῖς ἄκροις τῶν σελίδων. Τότε δὲ πρῶτον ἔννοιά μοι ἐγένετο γράφειν αἰνέσιμον διατριβὴν περὶ τῆς παρὰ Κοϊντυλιανῷ παιδαγωγικῆς.

[1] Ἀντίστοιχον τῷ ὀνόματι τούτῳ λέξιν οὐχ εὑρίσκω ἐν τῇ Ἑλληνικῇ, καὶ διὰ τοῦτο προειλόμην ἀνερμήνευτον αὐτὸ καταλιπεῖν. Περιέχει δὲ τὸ ὄνομα Χουμανιστὴς ἔννοιαν διὰ περιφράσεως μόνον καὶ ὁρισμοῦ καταληπτήν. Ἡ παρὰ Γερμανοῖς λέξις Humanist [ὡς καὶ αἱ Λατινικαὶ humanismus, humanitas, humanus καὶ λοιπαὶ] ἔχουσα τὸ ἔτυμον ἐκ τοῦ homo, humus ἐδήλου τὸν λόγιον καὶ πε-

ταῖς αὐλαῖς τῶν ἡγεμόνων καὶ τοῖς πανεπιστημίοις καὶ ταῖς σχολαῖς, ἐπήρκει δὲ πρὸς τούτοις καὶ τῇ ἀνανεωθείσῃ φροντίδι, τῇ παρεχομένῃ τοῖς νέοις πρὸς ἐκπαίδευσιν. Ἀληθῶς δ' εἰπεῖν τὰ γενικὰ παιδαγω-

παιδευμένον, τὸν ἐν ταῖς αὐλαῖς τῶν ἡγεμόνων, ἢ ἐν τοῖς πανεπιστημίοις, ἢ ἐν ταῖς σχολαῖς διδάσκοντα καὶ ἐπιζητοῦντα διὰ τῆς παιδείας ἡμερῶσαι καὶ παιδαγωγῆσαι τὸν ἄνθρωπον. Ὁ χουμανιστής, ἁπλῶς εἰπεῖν, ἐσκόπει τὴν διὰ τῆς παιδείας ἁρμονικὴν τῶν πνευματικῶν τοῦ ἀνθρώπου δυνάμεων διαμόρφωσιν, ἣν οἱ Λατῖνοι ὠνόμαζον humanitatem, καὶ ἥτις ἀτελῶς διὰ τῆς φιλανθρωπίας μεταφραζομένη, ἀποτελεῖ κυρίως μέρος τῆς παρ' Ἕλλησι παιδείας, περιεκτικωτάτην ἐχούσης ἔννοιαν· « qui verba latina fecerunt (λέγει ὁ Γέλλιος Ἀττικ. νυκτ. XVII, 1) quique his probe usi sunt, humanitatem non id esse voluerunt, quod volgus existimat quodque a Græcis φιλανθρωπία dicitur et significat dexteritatem quantam benevolentiamque erga omnis homines promiscam, sed humanitatem appellaverunt id prope modum, quod Græci παιδείαν vocant, nos eruditionem institutionemque in bonas artis dicimus. » Ὡς δὲ τοιαύτη ὑψηλὴ καὶ κοσμία τοῦ πνεύματος μόρφωσις ἐπετυγχάνετο ἐν Ῥώμῃ διὰ τῆς σπουδῆς τῶν μεγάλων Ἑλλήνων ποιητῶν καὶ συγγραφέων καὶ τῆς μετ' αὐτῶν ἀδιαλείπτου ἀναστροφῆς καὶ οἰκειότητος, οὕτω καὶ ἐν τῷ Μεσαίωνι ἦν τὰ λείψανα τῆς ἀρχαίας δοκίμου φιλολογίας, καὶ μάλιστα τῆς Λατινικῆς, αἱ μόναι πηγαί, ἐξ ὧν τοιαύτη τις μόρφωσις διεπλάττετο. Humaniora δὲ τότε ὠνόμαζον τοὺς κλάδους τῆς φιλολογίας, καὶ Humanismum τὸ σοφὸν ἐκεῖνο παιδευτικὸν σύστημα, ὅπερ ἐχρῆτο τοῖς ἀρχαίοις συγγράμμασιν ὡς μορφωτικοῖς τοῦ πνεύματος. Τοῦτο δὲ τὸ παιδευτικὸν σύστημα διῆλθε μεσοῦντος τοῦ πέμπτου καὶ δεκάτου αἰῶνος ἐκ τῆς Κωνσταντινουπόλεως καὶ Ἰταλίας μετὰ τῆς καλουμένης ἀναγεννήσεως τῶν τεχνῶν καὶ ἐπιστημῶν καὶ ἐξηπλώθη εἰς τὴν λοιπὴν Εὐρώπην. Παραστάται τῆς ἀναγεννήσεως ταύτης τῶν γραμμάτων ἐν τοῖς πρώτοις ἦσαν ἐν τῇ Γερμανίᾳ ὁ Ἔρασμος καὶ ὁ Μελάγχθων καὶ ἄλλοι ἀλλαχοῦ ὀνομασθέντες Χουμανισταὶ (Humanisten). Τὰ ὑπ' αὐτῶν εἴτε ἀμέσως εἴτε ἐμμέσως ἱδρυθέντα ἐκπαιδευτικὰ καταστήματα ἐξέπεσαν μετ'

γικὰ ἀξιώματα καὶ γνῶμαι, ἃς τὸ πρῶτον μάλιστα βιβλίον τῆς ῥητορικῆς διδασκαλίας περιλαμβάνει, πρὸς δὲ τούτοις καὶ αἱ γενικαὶ διδακτικαὶ παρατηρήσεις τοῦ δευτέρου βιβλίου, συχνάκις ἐπανελαμβάνοντο ἐν τοῖς πολυαρίθμοις περὶ παιδεύσεως τῶν νέων συγγράμμασι τῶν χρόνων ἐκείνων [ἤτοι τοῦ πεντεκαιδεκάτου καὶ ἑκκαιδεκάτου αἰῶνος] καὶ πρὸς παιδαγώγησιν τῆς καρδίας και τοῦ πνεύματος ἐπιτήδειοι ἐθεωροῦντο. Ἱκανὰ δ' ἐστίν, ἵνα τοῦτο δηλώσωσι, τὰ ὀνόματα Μαφίου Βεγίου (**Mapheus Vegius**) καὶ Παύλου Βεργερίου (**Paulus Vergerius**), μάλιστα δὲ πάντων τὸ τοῦ Ἐράσμου καὶ τὸ τοῦ ἀναρμορφωτοῦ τῆς Γερμανίας Λουθήρου, ὃς γράφων « ***Domino Georgio Spaladino, illustrissimi Saxoniae ducis secretario, amico suo praecipuo*** » λέγει τοὺς ἀξιομνημονεύτους τούτους

οὐ πολὺ εἰς ἄμουσον καὶ μικρολόγον τυπικότητα. Κατὰ ταύτης δὲ καὶ καθόλου κατὰ τοῦ ἀτελοῦς τοῦ χουμανισμοῦ ἐκπαιδευτικοῦ συστήματος ἠγέρθησαν ἀπὸ τῆς ιϛ' ἑκατονταετηρίδος ἄνδρες τινὲς ἔξοχοι, ὡς Μονταίνιος ἐν Γαλλίᾳ, ὁ Βάκων ἐν Ἀγγλίᾳ καὶ ὁ Κομένιος ἐν Γερμανίᾳ. Οὗτοι δὲ θεωροῦνται ὡς εἰσηγηταὶ πραγματικοῦ διδακτικοῦ συστήματος ἐν τοῖς σχολείοις (realismus) ἐκ παραλλήλου τῷ τῆς ἀρχαίας καὶ δοκίμου φιλολογίας. (πρβλ. Mayers Konversations-Lexikon ἐν λέξει Humanität καὶ τὰ περὶ τούτου σοφῶς εἰρημένα ἐν τῷ Grand dictionnaire universel τοῦ XIX αἰῶνος ὑπὸ Πέτρου Λαρουσσίου 1873, σελ. 446—447). Ὁ Emile Egger (Memoires de litterature ancienne σελ. 406) λέγει τὰ ἑξῆς περὶ τῶν humanités. « Les humanités mot excellent, en ce qu'il exprime à merveille cette politesse du cœur et de l'esprit, que doit enseigner, que doit entretenir un commerce assidu avec le plus pur genie de l'antiquité, mais on abuse du mot et de la chose, quand on y veut reduire toute l'ambition comme tous les devoirs de l'enseignement, qui prepare aux carrieres liberales. »

λόγους περὶ τοῦ Κοϊντυλιανοῦ· « Quintilianus unus est, qui optimos reddit adolescentes, imo viros. Hunc unum rogo ante omnia ne derelinquas. Ego prorsus Quinctilianum fere omnibus auctoribus præfero, qui simul et instituit, simul quoque eloquentiam monstrat, id est, verbo et re docet quum felicissime. »[1] Τοῦτ᾽αὐτὸ δὲ ἐπιδεῖξαι βουλόμενος καὶ Μουρέτος, ὅσον δηλονότι ἡ ἀνάγνωσις τοῦ Κοϊντυλιανοῦ λυσιτελὴς αὐτῷ εἰς τὰ σχολεῖα φοιτῶντι ἐγένετο, λέγει τάδε, «*me puero magna cum cura exponebantur in scholis institutiones oratoriae M. T. Quintiliani.* »[2] Μόλις δὲ νομίζω ἀναγκαῖον προσθεῖναι, ὅτι εἰ καὶ κατὰ τὸν δέκατον ἕβδομον αἰῶνα νέαι προαιρέσεις καὶ παιδευτικὰ συστήματα ἀνεφάνησαν, ἀλλὰ καὶ ἐν τούτοις οὐχ ὅλως μνήμης ἐλλιπὴς ἐγένετο. Ἄμως γὰρ Κομένιος (1592—1670) τούτου πολλάκις μνημονεύει, ἔτι δὲ μᾶλλον πράττει τοῦτο καὶ Κάρολος Ῥολλῖνος (1661—1747),[3] ἀλλὰ καί τινες τῶν τοῦ Λοκκίου (Locke) καὶ Ῥουσσὼ καὶ Βαζεδόβου (Basedow) γνωμῶν, ὡς

1 « Quae res (ἡ ἔκδοσις τοῦ Κοϊντυλιανοῦ), λέγει Carolus Henricus Frostscher (Lipsiæ 1829), quantum jam commodi attulerit, et allii prædicaverunt et meus me usus atque experientia docuit. »

2 Ἀνάγν. Var. bet. c. 20.

3 Ὁ Ῥολλῖνος θεωρεῖ τὸ Κοϊντυλιανοῦ ἔργον ὡς τὸ « le plus utile à la jeunesse sous le rapport de l'éloquence et des moeurs. » «Συνενοῖ, λέγει, τῇ τοῦ Κικέρωνος γλαφυρότητι τὸ ὀξύνουν τοῦ Ἀριστοτέλους,» ἀλλ' ἡ κρίσις αὕτη, ὡς καὶ ἄλλοι παρετήρησαν, ἐστὶν ὑπερβολική· ὁ γὰρ Κοϊντυλιανὸς οὔτε τὸ βαθὺ τοῦ Ἀριστοτέλους πνεῦμα ἔχει, οὔτε τὴν ἀμίμητον τοῦ Κικέρωνος χάριν, ἔχει ὅμως ἄλλα προτερήματα, καὶ ταῦτά ἐστιν ὁ τρόπος, δι' οὗ ἐπραγματεύθη τὸ περὶ μορφώσεως ῥήτορος θέμα.

καὶ ἐνίων ἄλλων, δῆλόν ἐστιν, ὅτι ἠντλήθησαν ἐκ τῆς ἐκείνου πηγῆς, εἰ καὶ οὗτοι οἱ τελευταῖον μνημονευθέντες φαίνονται περὶ μικροῦ ποιησάμενοι τὰς διαμορφωτικὰς τῆς δοκίμου ἀρχαιότητος πηγάς.[1] Καταστρέφων δὲ τέλος πάντων τὸν περὶ τούτων λόγον, ἄσμενος ἀναγράφω καὶ Φριδερῖκον τὸν μέγαν, ὃς ζήλῳ πρὸς παιδαγώγησιν καὶ παίδευσιν τῆς γερμανικῆς νεότητος ἀφορῶν, προσέταξε διὰ διατάγματος τὸν Κοϊντυλιανὸν ἐπιμελῶς ἐν ταῖς σχολαῖς ἀναγινώσκεσθαι καὶ πρὸς ὠφέλειαν τῶν εἰς τὰ δημοτικὰ σχολεῖα φοιτώντων παίδων Γερμανιστὶ μεταφράζεσθαι.[2]

§ 23. Οὐκ ἄπο σκοποῦ ἐστιν, ἐνταῦθα τοῦ λόγου παραγενόμενοι, ἐξετάσαι γενικώτερον, εἰ Κοϊντυλιανὸς ἐν τοῖς παιδαγωγικοῖς ὑπὸ τῶν Ἑλλήνων ὠφελήθη. Καὶ τῷ ἄκροις χείλεσι τῶν Ἑλληνικῶν γευσαμένῳ γραμμάτων δῆλόν ἐστιν, ὅτι ὁ Ῥωμαῖος τῆς ῥητορικῆς καθηγητὴς τὰς πλείστας τῶν παιδαγωγικῶν γνωμῶν παρὰ τῶν Ἑλλήνων παρέλαβε καὶ μάλιστα παρὰ Χρυσίππου, οὗ καὶ πολλαχοῦ τοῦ ἔργου

[1] Ὡς γὰρ ἡ τοῦ Πλάτωνος καὶ τῶν Νεοπλατωνικῶν φιλοσοφία ἴσχυσεν οὐ μικρὸν παρὰ τοῖς πατράσι τῆς Ἀνατολικῆς ἐκκλησίας, οὕτω καὶ αἱ ἠθικαὶ καὶ παιδαγωγικαὶ τοῦ Κοϊντυλιανοῦ γνῶμαι παρὰ τοῖς τῆς Δυτικῆς. Ὁ Ἱερώνυμος π. χ. καὶ Λακτάντιος πολλάκις Κοϊντυλιανοῦ μνημονεύουσι καὶ τὰς γνώμας τούτου ἐπαινοῦσι [Lactant. instit. divin. I, 21, V, 7, καὶ VI, 23]. Ἐν δὲ τῇ Γαλλίᾳ ὁ Ἀββᾶς Gedony ἠξιώθη ἐν τῇ χορείᾳ τῶν τῆς Γαλλικῆς Ἀκαδημίας μελῶν ταχθῆναι ὡς εἰς τὴν Γαλλικὴν γλῶσσαν τὸ τοῦ Κοϊντυλιανοῦ ἔργον μετενεγκών. (de l' institution oratoire trad. par l' abbé Gedony, Paris 1718—4ον).

[2] Τὸ διάταγμα Φριδερίκου τοῦ μεγάλου, βασιλέως τῆς Πρωσ-

μνημονεύει.[1] Καὶ οὐ μόνον ἐν παιδαγωγικοῖς, ἀλλὰ καὶ ῥητορικοῖς ζητήμασι λόγου ἀξίοις τῶν Ἑλλήνων ἐπικαλεῖται τὴν μαρτυρίαν καὶ τὸ κῦρος, παραλείπων σχεδὸν τοὺς Ῥωμαίους. Πλὴν γὰρ Χρυσίππου, ὡς εἴδομεν, μνημονεύει καὶ Ἡσιόδου καὶ Σώφρονος καὶ Εὐπόλιδος καὶ Ἀριστοφάνους καὶ Μενάνδρου καὶ Σωκράτους καὶ Πλάτωνος καὶ Ἀριστοτέλους καὶ τῶν Στωϊκῶν καὶ Ἐρατοσθένους καὶ ἄλλων πολλῶν, ἐφ' οἷς ἐπαναπαύεται καὶ ὧν τῇ ἀξιοπιστίᾳ τοῖς αὐτοῦ λόγοις κῦρος ἐπιθέσθαι ἐφίεται. Ἐν πάσαις δὲ ταῖς γνώμαις ταύταις πρόκειται μὲν φανερὸν τὸ ὥριμον καὶ παιδαγωγικὸν τοῦ ἀνδρός, καὶ ὁρᾷ τις τὸν σοφὸν καθηγητὴν τῆς Ῥωμαϊκῆς νεότητος ὑπὸ τῆς πείρας καὶ παρατηρήσεως ἀγόμενον, ἀλλὰ καὶ τὸν θαυμαστὴν σύναμα τῆς Ἑλληνικῆς σοφίας, τὸν βαθέως τῇ

σίας, ἐξεδόθη τὴν 9 Σεπτεμβρίου 1879 ὑπουργοῦντος τοῦ Zedliz, ἔχει δὲ ἐν πρωτοτύπῳ ὡς ἑξῆς· «Wegen der Rhetorik ist der Quintilian, der muss verteutschet und darnach in allen Schulen informiret werden, sie müssen die jungen Leute traductions und discur se selbts machen lassen, dass sie die Sache recht begreifen nach der Methode des Quintilian; man kann auch ein Abrégé daraus machen, dass die jungen Leute in den Shulen alles desto leichter lernen: denn wenn sie nacher auf Universitäten sint, so lernen sie davon nichts, wenn sie es nicht aus den Schulen schon mit dahin bringen» [E. Bonnell. Berlin 1873 ἐν τῷ προλόγῳ τῆς πρώτης ἐκδόσεως].

[1] Quintil. I. 11, 17. «A Chrysippo in praeceptis de liberorum educatione»· καὶ ἀνωτέρω (I, 1, 4) καὶ πάλιν 16. «Melius autem qui nullum tempus vacare cura volunt, ut Chrysippus» καὶ I, 3, 14 καὶ I, 10, 32—I, 3, 14—XII, 7, 9. Τούτου δὲ τοῦ Χρυσίππου καὶ πολλοὶ τῶν Ἑλλήνων μνημονεύουσι καὶ Πλούταρχος, εἰ οὗτός ἐστιν ὁ συγγραφεὺς τοῦ περὶ παίδων ἀγωγῆς βιβλιαρίου.

μελέτῃ τῶν Ἑλληνικῶν συγγραμμάτων ἐγκύψαντα καὶ ἐκ τούτων θαυμαστὸν ὅσον ἐπωφεληθέντα. Ὡς μαθητὴς τοίνυν τῶν Ἑλλήνων εὐγνώμων δράττεται καιροῦ, ἵνα καὶ τὴν γλῶσσαν τούτων ἐπαινέσῃ καὶ τὴν σοφίαν ἐγκωμιάσῃ. «Δεῖ δὲ τὸν Ῥωμαῖον παῖδα, λέγει,[1] πρῶτον ἐν τοῖς Ἑλληνικοῖς μαθήμασιν ἐκπαιδεύεσθαι, ἀφ' ὧν καὶ τὰ ἡμέτερα ἀπερρύη». Ἀλλαχοῦ δὲ πάλιν λέγει[2] «Ἡ λατινικὴ ῥητορικὴ κατά τε τὴν εὕρεσιν, τὴν οἰκονομίαν καὶ τὰς ἄλλας τοῦ γένους τούτου ἀρετάς, ὁμοία τῇ Ἑλληνικῇ καὶ μαθήτρια ταύτης φαίνεται». Μνημονεύων δὲ Κικέρωνος, πράττει τοῦτο, διότι καὶ οὗτος τοῖς ἐξοχωτάτοις τῶν Ἑλλήνων ἠκολούθησε· « Ciceronem sequar, λέγει,[3] nam is eminentissimos Graecorum est secutus· » καὶ ἀλλαχοῦ πάλιν προσεπιφέρει.[4] « Πιστευτέον τοίνυν τούτοις, ὧν τῷ ἀξιώματι Κικέρων ἠκολούθησε. » Τίνες δ' οὗτοι, οἷς Κικέρων ἠκολούθησε; Δῆλόν ἐστιν, ὅτι οἱ Ἕλληνες, ὡς τοῦτο πολλαχόθεν ἰδεῖν ῥᾴδιον·[5] τοῖς Ἕλλησι τοίνυν πιστευτέον « Graecis igitur credendum.»[6]

§ 24. Εἰ δέ τις πάλιν προέλοιτο συναγαγεῖν ἐπὶ τὸ αὐτὸ ὅσα περὶ ἑκάστου τῶν παιδαγωγικῶν ζητημάτων οἱ Ἕλληνες ἔγραψαν καὶ ταῦτα πρὸς τὰ τοῦ Κοϊντυλιανοῦ παραβαλεῖν, εὑρήσει οὐ πάνυ ἀλλήλων

[1] Quintil. I, 1, 12.
[2] Αὐτόθ. XII, 10, 27.
[3] Quintil. IX, 4, 79.
[4] Αὐτόθ. III, 6, 80.
[5] Πρβλ. Quintil. X, 1, 108.
[6] Babucke «de Quintiliani doctrina et studiis.»

διαφέροντα. Ὅ,τι δ' ὅμως ἴδιον μάλιστα τῷ Ῥωμαίῳ ἡ τάξις ἐστὶν ἡ τῷ σκοπῷ τοῦ ἔργου συνᾴδουσα καὶ τὸ ἀκριβὲς τοῦ λόγου. Διὰ ταῦτα τοίνυν περὶ πολλοῦ τὸ Κοϊντυλιάνειον ἔργον νομίζεται καὶ μελέτημα τερπνόν, ἅμα δὲ καὶ διδακτικὸν παρὰ πάντων ὁμολογεῖται. Πρὸς τὴν παιδαγωγικὴν μάλιστα ὕλην καὶ ταύτην ἔχει τὴν ἀξίαν, ὅτι τὰ ἤθη τῶν συγχρόνων Ῥωμαίων ἐξεικόνισε καὶ πολλὰς πολλῶν Ἑλλήνων συγγραφέων γνώμας διέσωσε καὶ κατ' ἐξοχήν, ὡς εἴδομεν, Χρυσίππου, ὅς, ὡς ἐμοὶ δοκεῖ, ἐν τῷ περὶ παίδων ἀγωγῆς λόγῳ ἐπιστημονικῶς τὰ σπουδαιότατα τῶν τοιούτων θεμάτων ἐξήτασε. Τῷ Χρυσίππῳ δὲ φαίνεται καὶ ὁ λεγόμενος Πλούταρχος ἀκολουθήσας, ὅστις ἐκ περιέργου ἴσως συμπτώσεως ἀκολουθεῖ τῇ αὐτῇ τάξει ἐν τῇ καταγραφῇ τῶν παιδαγωγικῶν γνωμῶν, ᾗ καὶ Κοϊντυλιανός. Καὶ ἀγνοῶ μὲν εἴ τις ἄλλος πρότερος τοῦτο παρετήρησεν, ἐμοὶ δ' ὅμως οὐ σμικρὰν αἴσθησιν τὸ πρᾶγμα παρέσχε. Καὶ ἔστι μὲν τοιαύτη τις καὶ ἡ λογικὴ τῶν παιδαγωγικῶν θεμάτων ἐξέτασις, ἀλλ' ὅμως ἡ ὁμοιότης σχεδὸν τῶν ἰδεῶν κατ' οὐδένα ἄλλον τρόπον νοεῖται, ἢ ὅτι ὁ τὸ περὶ παίδων ἀγωγῆς βιβλίον γράψας ἀνέγνω τὸ τοῦ Κοϊντυλιανοῦ ἔργον, ἤ, ὅπερ πιθανώτερον, ἀμφότεροι διελθόντες τὸ τοῦ Χρυσίππου, ἔλαβον ἕκαστος ὅ,τι πρὸς τὸν ἑαυτῶν σκοπὸν χρήσιμον ἐνομίσθη. Εἰκότως· εἰ γὰρ ψευδοπλούταρχος ἐγίνωσκε τὸ τοῦ Κοϊντυλιανοῦ ἔργον βεβαίως ἐμνημόνευεν ἂν καὶ τούτου, ὡς καὶ πολλῶν ἄλλων, ἀφ' ὧν τὸ αὑτοῦ ἔργον ἀπετέλεσε, πολυμάθειαν ἐπιδεικνύμενος καὶ τὴν ἐκ ταύτης δόξαν ζηλῶν. Ἀλλ' ἐρεῖ τις ἴσως, ἔστι μὲν ἐν

ἀμφοτέροις τὴν αὐτὴν τάξιν ἰδεῖν, ἀλλ᾽ ὅμως διαφέρουσι μικρὸν ἀλλήλων· τοῦτο, λέγω, ἀποδοτέον τῷ ἰδίῳ ἑκάστου τρόπῳ τοῦ σκέπτεσθαι καὶ τῇ πείρᾳ, καὶ ὅτι ὁ μὲν χάριν τῶν Ἑλλήνων, ὁ δὲ τῶν Ῥωμαίων ἔγραψε. Καὶ ταῦτα μὲν καθόλου, νῦν δὲ ἴωμεν ἐπὶ τὰ καθέκαστα καταγράψοντες τὰς παιδαγωγικὰς τοῦ Κοϊντυλιανοῦ γνώμας καὶ τούτων ἐκείνας μάλιστα, ὅσαι ἀναφέρονται εἰς τὴν φροντίδα τῆς σωματικῆς καὶ νοητικῆς ἀγωγῆς τοῦ παιδίου καὶ τοῦ μειρακίου.

§ 25. Κοϊντυλιανὸς παραινεῖ τῷ πατρὶ τὴν καλλίστην ἔχειν περὶ τοῦ γεννηθέντος υἱοῦ ἐλπίδα, ἅτε φρονῶν πάντας τοὺς ἀνθρώπους, νοῦν ἀπὸ τῆς φύσεως λαμβάνοντας, φύεσθαι ἱκανοὺς πρὸς τὸ μανθάνειν. Τοὺς δὲ λέγοντας ὡς ὀλίγιστοι νοοῦσι τὰ διδασκόμενα, οἱ δὲ πολλοὶ διὰ νωθρότητα πνεύματος μάτην πονοῦσι καὶ χρόνον ἀπολλῦσιν, ἀνασκευάζει, λέγων, ὅτι πλείστους εὕροι τις ἂν καὶ γνῶναι ἱκανοὺς καὶ περὶ τὸ μανθάνειν δεξιούς, τὰ δὲ πνευματικὰ καὶ σωματικὰ ἐξαμβλώματα σπάνιαί εἰσι τῆς φύσεως παρεκτροπαὶ καὶ ἐξαιρέσεις. Οἱ παῖδες, προσεπιφέρει, πλείστας παρέχουσιν ἐλπίδας, εἰ δ᾽ αὗται τῆς ἡλικίας προϊούσης σβέννυνται, αἰτία οὐχὶ τῆς φύσεως ἔλλειψις, ἀλλὰ τῆς φροντίδος. Ἐκ δὲ τῆς φυσικῆς τοῦ πνεύματος ἀνισότητος, οὐδὲν ἄλλο συμβαίνει, ἢ ὅτι ὁ μὲν πλέον τοῦ δὲ κατορθοῖ, οὐδεὶς ὅμως εὑρέθη, ὅστις οὐδὲν τῇ ἐπιμελείᾳ διεπράξατο.[1] Ἔστι δέ, λέ-

[1] Quint. I, 1—4. «...nemo reperitur, qui sit studio nihil consecutus·» παραβλητέα τούτοις ὅσα οἱ γνωμικοὶ τῶν Ἑλλήνων

γει ἀλλαχοῦ, μεγίστη ἡ δύναμις τῆς φύσεως, καὶ δίχα ταύτης οὐδὲν ἰσχύουσιν οἱ κανόνες καὶ τὰ παραγγέλματα.[1] Συντελοῦντα δὲ τῇ φύσει ἐστὶ καὶ φωνή, καὶ στῆθος περὶ τοὺς πόνους καρτερικόν, καὶ ὑγίεια καὶ εὐστάθεια καὶ σεμνοπρέπεια· τὰ φυσικὰ δὲ ταῦτα βοηθήματα, μέτρια ὄντα δύναται δι' ἐπιμελοῦς ἀσκήσεως ἐπίδοσιν λαβεῖν,[2] ἀλλ' ἐνίοτε τοσοῦτον αὐτὰ ἐλλείπει, ὥστε οὐ μόνον τὰ τῆς φύσεως ἀγαθά, ἀλλὰ καὶ τὰ τῆς ἐπιμελείας διαφθείρει· ὡσαύτως δὲ καὶ αὐτὰ ταῦτα ἄνευ δοκίμου διδασκάλου καὶ συνεχοῦς ἐπιμελείας καὶ ἀσκήσεως οὐδὲν ὠφελεῖ.[3] Ἀλ-

περὶ τοῦ πόνου καὶ τῆς ἐπιμελείας εἰρήκασι· « πάντα πόνος τεύχει θνητοῖς μελέτη τε βροτείη » [Ἀρχίλοχ.], ὅπερ μεταφράζων Ὁράτιος, [Serm I, 9, 59] λέγει « Nil sine magno vita labore dedit mortalibus. » Καὶ Ἡσίοδος λέγει [ἔργ. καὶ ἡμέρ. 289] « τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν ». Καὶ Φιλήμων παρὰ Στοβαίῳ [Flor. IX. σελ. 401] « μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται. » Καὶ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι [II, 1, 28] « τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις. » [Πρβλ. καὶ Πλουτάρχ. περὶ παίδων ἀγωγ. IV].

1 « Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ. » [Cf. Bergk, poetae lyrici Gr. σελ. 415].

2 Ἀριστοτέλης λέγει [πολιτ. VII, 15] « πᾶσα γὰρ τέχνη καὶ παιδεία τὸ προσλεῖπον βούλεται τῆς φύσεως ἀναπληροῦν. »

3 Quintil. ἐν προοιμ. 26 μέχρι τέλους. « Ὅτι διττή ἐστιν ἡ παιδεία ἡ μέν τις δαιμόνιος, ἡ δὲ ἀνθρωπίνη· ἡ μὲν οὖν θεία μεγάλη καὶ ἰσχυρὰ καὶ ῥᾳδία, ἡ δὲ ἀνθρωπίνη μικρὰ καὶ ἀσθενὴς καὶ πολλοὺς ἔχουσα κινδύνους καὶ ἀπάτην οὐκ ὀλίγην, ὅμως δὲ ἀναγκαία προσγενέσθαι ἐκείνῃ, εἰ ὀρθῶς γίγνοιτο [Δίων. Χρυσ. IV ἔκδ. L. Dind. I, σελ. 69]. Ὅμοια δὲ τούτοις ἐν πολλοῖς ἐστι καὶ τὰ παρὰ Πλουτάρχῳ [περὶ παίδ. ἀγωγ. IV] « ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν τρία δεῖ συνδραμεῖν, φύσιν καὶ λόγον καὶ ἔθος. Καλῶ δὲ λόγον μὲν τὴν μάθησιν· ἔθος δὲ τὴν ἄσκησιν . . . . κτλ. » Καὶ ὁ

λαχοῦ δὲ πάλιν ζητεῖ, εἰ ἡ φύσις μᾶλλον τῆς μαθήσεως συμβάλλεται πρὸς μόρφωσιν ῥήτορος. « Τέλειος ῥήτωρ γενέσθαι δύναται, ὃς ἂν ἀμφότερα κεκτημένος ᾖ· εἴ τις ὅμως ἀποχωρίσαι ταῦτα βούλοιτο, τότε φύσις μὲν δίχα μαθήσεως μᾶλλον δύναται, οὐδὲν δὲ μάθησις ἄνευ φύσεως. Ἐξίσου δ' ἀμφοτέρων συνερχομένων καὶ μετρίων ὄντων, ἀποδίδωμι τῇ φύσει μείζω σπουδαιότητα. Ἀλλ' οἱ τέλειοι ῥήτορες ὀφείλουσιν, ὡς ἐγὼ νομίζω, τῇ μαθήσει πλεῖον, ἢ τῇ φύσει. Οὕτως ἄκαρπον παντάπασιν ἔδαφος καὶ ὁ ἄριστος τῶν γεωργῶν ὠφελῆσαι οὐ δύναται, σπαργῶσα δὲ γόνιμος γῆ καὶ ἄνευ γεωργίας χρήσιμόν τι παράγει· ἀπεναντίου δὲ ἐπὶ ἐδάφους καρποφόρου ὁ γεωργῶν πράττει μεῖζόν τι, ἢ αὐτὴ καθ' ἑαυτὴν ἡ τῆς γῆς ἀρετή. Εἰ ὁ Πραξιτέλης ἀπεπειρᾶτο ποιῆσαι ἄγαλμα ἐξ ἀκόμψου μυλίτου, προῃρούμην ἂν ἀντὶ τούτου ἄξεστον Πάριον μάρμαρον, εἰ δ' ὁ αὐτὸς ἀγαλματοποιὸς αὐτὸ τοῦτο τὸ μάρμαρον ἐπεξειργάζετο, εἶχεν ἂν αὐτὸ τὸ ἔργον μείζω τοῦ μαρμάρου ἀξίαν. Συνελόντι δ' εἰπεῖν, ἡ φύσις ἐστὶν ἡ ὕλη τῆς μαθήσεως, ἡ μὲν μάθησις διαμορφοῖ, ἡ δὲ φύσις διαμορφοῦται. Οὐδὲν ἡ τέχνη ἄνευ ὕλης, ἡ δὲ ὕλη καὶ ἄνευ τέχνης ἔχει ἀξίαν· μείζω δ' ὅμως ἀξίαν ἔχει ἡ καλλίστη τέχνη, ἢ ἡ ἀρίστη ὕλη. »[1]

§ 26. Αἱ δὲ περὶ τροφῶν τοῦ Κοϊντυλιανοῦ γνῶ-

κυνικὸς Διογένης [παρὰ Διογ. Λαερτ. VI, 2, 71] «οὐδέν γε μήν, ἔλεγε, τὸ παράπαν ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι.»

[1] Quintil. II, 19, 1—3. «Natura an doctrina plus ei conferat.«

μαί εἰσι παιδαγωγικώταται. Βούλεται γὰρ τὰς τροφοὺς μὴ μόνον καθαρεύουσαν γλῶσσαν λαλεῖν, ἀλλὰ καὶ σοφὰς εἶναι καὶ τὰ ἤθη χρηστάς. Τὸ γὰρ παιδίον τῆς τροφοῦ τὸ πρῶτον ἀκούει, καὶ τοὺς λόγους ταύτης μιμεῖται· ὅσα δ' ὁ παῖς ἐν τρυφερᾷ ἡλικίᾳ μανθάνει, ταῦτα ἀνεξάλειπτα καθ' ἅπαντα τὸν βίον παραμένει. Καθόλου δ' εἰπεῖν δύο τινὰ παρὰ τῆς λογίας καὶ ἐναρέτου τροφοῦ τὸ παιδίον προσλαβεῖν δύναται, τὴν ἕξιν τοῦ ὀρθῶς λαλεῖν καὶ τοῦ σωφρόνως ζῆν.[1] « Δεῖ πρὸ πάντων, λέγει, τὰς τροφοὺς μὴ τὴν γλῶσσαν πλημμελῆ ἔχειν. Χρύσιππος ἐπεθύμησε ταύτας, εἰ δυνατόν, σοφὰς εἶναι, ἢ τοὐλάχιστον ἠθέλησεν, ἐφ' ὅσον τὸ πρᾶγμα συγχωρεῖ, τὰς ἀρίστας τούτων προαιρεῖσθαι. Καὶ πρότερον μὲν ἀναμφισβητήτως τοῖς τούτων ἤθεσι προσεκτέον, ἀλλὰ δεῖ ταύτας καὶ τὴν γλῶσσαν ὀρθῶς λαλεῖν. Τούτων γὰρ πρῶτον ὁ παῖς ἀκούσεται καὶ τούτων τοὺς λόγους μιμεῖσθαι καὶ ἀπεικάζειν πειράσεται. Ταῦτα δὲ φύσει πιστότατα τῇ μνήμῃ φυλάττομεν, ὅσα καὶ ἐξ ἁπαλῶν ὀνύχων μανθάνομεν· οὕτως δὲ ὁ χυλὸς παραμένει ἐν ἀγγείῳ καινῷ, οὗ ἄν τὸ πρῶτον πληρωθῇ, καὶ τὰ τῶν ἐρίων χρώματα, οἷς παρηλλάγη ἡ φυσικὴ τούτων λευκότης, μεταβληθῆναι οὐ δύναται. Καὶ αὐτὰ ταῦτα

1 Quintil. I, 1, 4—6. Παραβλητέα τούτοις τὰ περὶ τροφῶν καὶ τιτθῶν ὑπὸ Πλουτάρχου εἰρημένα, ὧν ἡ ὁμοιότης καταφανής· τοῦτο δ' ὑποδείκνυσιν, ὡς ἀνωτέρω εἴδομεν, ὅτι ἀμφότεροι ἐκ τῶν αὐτῶν ἤντλησαν πηγῶν. [Πλουτ. περ. παιδ. ἀγωγ. V]. Ὡσαύτως καὶ Πλάτων [πολιτ. Β. 377, 6]·φρονῶν, ὅτι οἱ παῖδες τὴν ἐν λόγοις τροφὴν παρὰ τῶν τροφῶν μάλιστα λαμβάνουσι, παραινεῖ αὐταῖς, τίνι τρόπῳ δεῖ μυθολογεῖν καὶ λάλεῖν τοῖς παισίν.

μᾶλλον ἰσχυρῶς ἐναποτυποῦται, ὅσῳ ἐστὶ χείρω. Τὰ μὲν γὰρ καλὰ ῥᾳδίως εἰς χείρω τρέπεται, ἀλλὰ δύναταί τίς ποτε τὰς κακίας εἰς ἀρετὰς μεταβαλεῖν; Μὴ οὖν ὁ παῖς ἐθιζέσθω γλώσσῃ, ἣν εἰκός ἐστιν ὕστερον ἀπομαθεῖν.»[1]

[1] Περὶ δὲ τῶν συντρόφων παίδων οὐδὲν ἰδίᾳ Κοϊντυλιανὸς διεξέρχεται, φρονῶν περὶ τούτων ὅμοια τοῖς περὶ τροφῶν λεχθεῖσι. «De pueris, λέγει, inter quos educabitur ille huic spei destinatus, idem quod de nutricibus dictum sit» [Quint. I, 1, 7]. Τίνας δὲ παῖδας Κοϊντυλιανὸς ἐνταῦθα αἰνίσσεται; Spalding νοεῖ τοὺς νέους δούλους καὶ οὐ τοὺς ἐλευθέρους ὁμήλικας, aequales ingenui. Οὐχ ὅμως ἡγοῦμαι τὴν γνώμην ταύτην ὀρθήν, διότι ἐκπίπτει ὁ μέλλων τέλειος γενέσθαι ῥήτωρ δούλοις ἀναστρεφόμενος, καὶ διότι οὐδαμοῦ τοῦ ἔργου Κοϊντυλιανὸς τοιοῦτό τι λέγει. Εἰ δὲ τοῦτο εἰπεῖν ὁ συγγραφεὺς ἤθελεν, ἠδύνατ' ἂν εὐθὺς μετὰ τὰς τροφοὺς περὶ παίδων διαλαβεῖν καὶ οὐ μετὰ τοὺς γονεῖς. Ἡ τάξις γὰρ ἐν τοῖς ἀμφιβόλοις μεγάλως συμβάλλεται πρὸς ἀκρίβειαν. Οὐδὲν ὅμως κωλύει γενικωτέραν τινὰ τῷ ὀνόματι ἔννοιαν ἀποδοῦναι, ἤτοι νοεῖν διὰ τῆς λέξεως καὶ τοὺς δούλους καὶ ἐλευθέρους τῶν παίδων. Περὶ τοῦ σπουδαίου τούτου θέματος, ὅπερ Κοϊντυλιανὸς παρατρέχει, πλεῖστον Ἕλληνες ἐνδιατρίβουσιν· «οὐ τοίνυν, λέγει Πλούταρχος [παιδ. ἀγ. VII], οὐδὲ τοῦτο παραλιπεῖν ἄξιόν ἐστι, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν, καὶ τούτοις σύντροφα γίγνεσθαι, ζητητέον, πρώτιστα μέν, σπουδαῖα τοὺς τρόπους· ἔτι μέντοι Ἑλληνικὰ καὶ περίτρανα λαλεῖν, ἵνα μή, συναναχρωννύμενοι βαρβάροις καὶ τὸ ἦθος μοχθηροῖς, ἀποφέρωνταί τι τῆς ἐκείνων φαυλότητος. Καὶ οἱ παροιμιαζόμενοι δέ φασιν, οὐκ ἄπο τρόπου λέγοντες, ὅτι, ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ». Καὶ κατωτέρω ὁ αὐτὸς γενικώτερον λέγει. «Καὶ καθόλου δὲ ἀπείργειν προσήκει τοὺς παῖδας τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας. Ἀποφέρονται γάρ τι τῆς τούτων κακίας» [παιδ. ἀγ. XVII] καὶ πάλιν. «Ὥστε, εἴ τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα. Ἐκδιωκτέον δὲ καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας. Καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί.» Καὶ Ἀριστοτέλης πολλαχοῦ τοῦτο παραι-

§ 27. Κοϊντυλιανὸς τὴν τῶν παίδων ἀγωγὴν τοῖς γονεῦσι μάλιστα ἀνατίθησιν. Οἱ λόγιοι καὶ εὐπαίδευτοι τῶν γονέων μεγάλην ἔχουσι ῥοπὴν καὶ δύναμιν πρὸς τὴν τῶν τέκνων παίδευσιν καὶ καθόλου πρὸς ἀρετήν. Ἡ δὲ λογία μάλιστα μήτηρ καθίστησι τὰ τέκνα κοινωνὰ τῆς ἑαυτῆς παιδείας.[1] Δι᾽ ἱστορικῶν δὲ παραδειγμάτων τοῦτο βεβαιῶν, παραινεῖ καὶ τοὺς μὴ σοφοὺς τῶν γονέων ἐπιμελέστερον τῆς τῶν τέκνων παιδείας ἀντιλαμβάνεσθαι. «Τοὺς δὲ γονεῖς, λέγει, ἐβουλόμην ἂν ἐγώ, ὡς οἷόν τε μάλιστα πεπαιδευμένους εἶναι· καὶ οὐ μόνον περὶ τῶν πατέρων ταῦτα λέγω. Οὐ γὰρ μικρὸν συνεβάλετο τῇ ῥητορικῇ τῶν Γράκχων δεινότητι, ὡς ἡμεῖς ἴσμεν, ἡ τούτων μήτηρ Κορνηλία,[2] ἧς τὸ μεμορφωμένον τῆς γλώσσης

νεῖ [Ἠθικ. Νικ. II, 18. καὶ πολιτ. VII, 13. καὶ Ἠθικ. Νικομ. IX, 9, 7] «Γένοιτο δ᾽ ἂν καὶ ἄσκησίς τις τῆς ἀρετῆς ἐκ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ Θέογνίς φησι κ.τ.λ. . . .».

[1] Ὁ συγγραφεὺς λόγον ποιούμενος περὶ τῶν γονέων, στρέφεται μάλιστα πρὸς τὴν μητέρα γενικῶς τοῦ πατρὸς μνημονεύων. Γνωστὴ δὲ ἡ ἀξία τῆς μητρὸς παρὰ Ῥωμαίοις καὶ ἡ ἐπιρροὴ αὐτῆς ἐν τῇ τῶν τέκνων ἀνατροφῇ, τοῦτο καὶ Κοϊντυλιανὸς οὐκ ἠδύνατο παραδραμεῖν, ἐνταῦθα τοῦ λόγου γενόμενος. «Οἰκιακὸς βίος, λέγει Grasberger [Erz. u. Unter. in Klassich. Alterthum μέρ. II. σελ. 81], βεβαίως ὑπὸ τοιαύτην ἔννοιαν γίνεται γνωστὸς κατὰ πρῶτον παρὰ Ῥωμαίοις. Ἡ Ῥωμαία δέσποινα κατεῖχε τὴν προσήκουσαν θέσιν πρὸς σπουδαίαν τῆς ἀγωγῆς τῶν τέκνων ἐπισκόπησιν, τοὐλάχιστον μέχρι τοῦ χρόνου, καθ᾽ ὃν ὁ παιδαγωγὸς ἐγένετο διάδοχος τῆς τροφοῦ». [πρβλ. καὶ Schmidt Geschichte der Erziehung σελ. 65. ἔκδ. 1863].

[2] Περὶ ταύτης Κικέρων λέγει [Βροῦτ. κεφ. 53] «Epistolas Corneliae matris Gracchorum. Apparet filios non tam in gremio educatos, quam in sermone matris.

καὶ ἐν ἐπιστολαῖς τοῖς ἐπιγιγνομένοις παραδέδοται, καὶ περὶ Λαιλίας[1] τῆς Κοϊντίου θυγατρὸς λέγεται, ὅτι ὡμοιώθη ἐν τῷ λέγειν τῇ τοῦ πατρὸς κομψότητι, καὶ ὁ παρ' Ὀρτησίας τῆς Κοϊντίου θυγατρὸς ἐν τῇ τριανδρίᾳ ἀπαγγελθεὶς λόγος ἀναγινώσκεται οὐ μόνον τῷ γένει ταύτης τιμὴν περιποιῶν.[2] Ἀλλὰ καὶ τοῖς γονεῦσι τοῖς μὴ κοινωνήσασι παιδείας προσήκει οὐχ ἧττον τῆς τῶν τέκνων ἐπιμελεῖσθαι· τότε γὰρ οὗτοι καὶ τῶν ἄλλων μᾶλλον ἐπιμεληθήσονται. »[3]

[1] Καὶ ταύτης μνημονεύει Κικέρων «Auditus est nobis Laeliae saepe sermo: ergo illam patris elegantiam tinctam vidimus». [Βροῦτ. αὐτοθ.]

[2] Ὅτε ἐν ἔτει 43 π. Χ. ἡ τριανδρία ἠθέλησε φορολογῆσαι 1400 πλουσίας οἰκοδεσποίνας Ῥωμαίας πρὸς τὸν κατὰ τοῦ Βρούτου πόλεμον, αὕτη διὰ λόγου ἀντεπεξῆλθε καὶ ἐπέτυχεν, ὥστε τοῦ πλείστου μέρους τῶν φόρων ἀπαλλαγῆναι. [ἴδ. Βαλέρ. Μάξιμ. VIII, 3,3]·

[3] Ἕλληνες μάλιστα τὴν τοῦ σώματος τῶν τέκνων θεραπείαν καὶ τροφὴν ταῖς μητράσιν ἀνατιθέασιν, ἃς Κοϊντυλιανὸς τροφαῖς καὶ τίτθαις ἀπονέμει. Πλούταρχος δὲ ταῦτα λέγει περὶ τῶν μητέρων· «δεῖ δὲ, ὡς ἐγὼ ἂν φαίην, αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν, ... Συμπαθέστερον γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν ἔνδοθεν, καί, τὸ δὴ λεγόμενον, ἐξ ἁπαλῶν ὀνύχων ἀγαπῶσαι τὰ τέκνα κ.τ.λ. [Πλουτάρχ. περ. παιδ. ἀγωγ.]. Ἄξια δὲ λόγου ἐστὶ καὶ ὅσα ἐν τέλει τοῦ βιβλίου περὶ Εὐρυδίκης λέγει, ὡς ἀναφερόμενα εἰς τὴν πνευματικὴν τῶν τέκνων μόρφωσιν καὶ σύμφωνα τοῖς παρὰ Κοϊντυλιανοῦ περὶ μητρὸς παραινουμένοις. «Ἰλλυρὶς οὖσα καὶ τρισβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων, ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας». Ἄξια παραβολῆς ἐστι καὶ τὰ Δίωνος Χρυσοστόμου [XXXV ἔκδ. Dindorf τομ. II. σελ. 42]· «Ὥσπερ οἱ γονεῖς διαλέγεσθαι τὰ παιδία διδάσκουσιν, ἐπὶ παντὶ χαίροντες, ὅ,τι ἂν εἴπωσιν· οὐκοῦν ἐκ τούτων θαρρεῖ καὶ μᾶλλον πρόεισι καὶ σαφέστερον ἀεὶ διαλέγεται καὶ τέλος ἐξέμαθε τὴν φωνὴν τῶν συνόντων . . . . κ.τ.λ.» Ἐντεῦθεν ὕστερον καὶ τὸ ὄνομα μητροδίδακτοι.

§ 28. Τοὺς παιδαγωγοὺς βούλεται Κοϊντυλιανὸς ἢ τελέως πεπαιδευμένους εἶναι, ὅπως οἱ παῖδες εὐθὺς ἀπ᾽ ἀρχῆς ἀληθεῖς διδάσκοιντο γνώσεις, ἢ συνειδέναι ἑαυτοῖς, ὅτι οὐκ εἰσι τοιοῦτοι. Οὐδένες γὰρ, λέγει, χείρους τούτων εἰσίν, οἵτινες μικρόν τι ὑπεράνω τῶν πρώτων ἀρχῶν τῶν γραμμάτων ὄντες, δοκοῦσίν εἶναί τι, οὐδὲν ὄντες. Ἔχοντες γὰρ ψευδῆ περὶ ἑαυτῶν γνώμην, ἀπαξιοῦσιν ὑπείκειν τοῖς περὶ τὸ διδάσκειν ἐμπείροις, ἐπαιρόμενοι δὲ καὶ σεμνυνόμενοι ὡς ἐπὶ δικαιώματί τινι ἐξουσίας, καθίστανται ἐπιτακτικοὶ καὶ σκληροὶ καὶ διδάσκουσι τοὺς παῖδας τὴν ἀνόητον ἑαυτῶν ἰσχυρογνωμοσύνην. Οὐχ ἧττον δ᾽ ἐπιβλαβὴς ἡ πλάνη τούτων καὶ τοῖς ἤθεσι. Μετέδωκεν Ἀλεξάνδρῳ ὁ παιδαγωγὸς Λεωνίδης[1] ἐλαττωμάτων, ὡς

[1] Λεωνίδαν καλεῖ τοῦτον Πλούταρχος ἐν βίῳ Ἀλεξάνδ. κ. 5. Ἐν γένει δὲ περὶ τοῦ σχηματισμοῦ τοῦ ὀνόματος ἴδε ἔκδοσιν Halm. Τῶν κακιῶν δὲ, ὧν Λεωνίδας Ἀλεξάνδρῳ μετέδωκεν, οὐδεὶς τῶν πρὸ ἢ μετὰ τὸν Κοϊντυλιανὸν [ἴδ. ἔκδ. Spalding] γραψάντων μνημονεύει, πλὴν τοῦ Hincmar ἀρχιεπισκόπου γενομένου Rheins κατὰ τὸν ἔννατον αἰῶνα. Λέγει δ᾽ οὗτος [Épître XIV aux grands du Royaume] «et legimus quomodo Alexander in pueritia sua habuit Bajulum (ἡ λέξις ἐδήλου κατὰ τὸν μεσαίωνα τὸν τοῦ ἡγεμονόπαιδος παιδαγωγὸν) nomine Leonidem, citatis moribus et in composito incessu notabilem; quae puer, quasi lac adulterinum sugens, ab eo sumpsit». Ἀνέγνων, λέγει Hincmar, ἀλλὰ ποῦ; τοῦτο ἀπολείπεται τοῖς κριτικοῖς εἰπεῖν. Εἰ δ᾽ ἐπιτρέπεται ἡμῖν γνώμην ἁπλῶς εἰπεῖν, παρὰ Κοϊντυλιανοῦ τοῦτον λαβεῖν ταῦτα νομίζομεν. Χρῆται γὰρ τῷ αὐτῷ τοῦ ὀνόματος σχηματισμῷ, ᾧπερ καὶ Κοϊντυλιανός· παρὰ Πλουτάρχου δὲ μόνον μανθάνομεν περὶ Λεωνίδου, ὅτι ἀπέφευγε τὸ τῆς παιδαγωγίας ὄνομα, καλὸν ἔργον ἐχούσης καὶ λαμπρόν, ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς ἐκαλεῖτο.» Ἀλλ᾽ ἆρά γε

Διογένης ὁ Βαβυλώνιος ἱστορεῖ, ἅτινα ἀπὸ τῆς πρώτης ἐκείνης παιδεύσεως ἐπηκολούθησεν αὐτῷ καὶ βασιλεῖ γενομένῳ ἰσχυρῷ καὶ μεγίστῳ. Εἰ δέ τις μὴ δυνηθείη ἐπιτρέψαι τὸν παῖδα τροφοῖς, συντρόφοις καὶ παιδαγωγοῖς, οἵοις ἐγὼ βούλομαι μάλιστα εἶναι τούτους, ἐπιτρεψάτω γε αὐτὸν ἐπιμελεῖ καὶ ἐμπείρῳ τοῦ λέγειν, ὃς ἂν τὰ παρ' ἄλλων παρόντος τοῦ παιδὸς πλημμελῶς λεγόμενα ἐπανορθοῖ καὶ μὴ ἐπιτρέπῃ τούτῳ τοῖς ἡμαρτημένοις ἐμμένειν. Δῆλον δ' ὅτι ἐκεῖνο μὲν τὸ πρῶτον παρ' ἐμοῦ λεχθὲν καλόν ἐστι, τοῦτο δ' οὐδὲν ἄλλο, ἢ φάρμακον.[1]

§ 29. Κοϊντυλιανὸς προτιμᾷ τὴν Ἑλληνικὴν τῆς Λατινικῆς γλώσσης, καὶ ἀπὸ ταύτης παραινεῖ τοὺς

καὶ ἐν τούτοις τοῖς λόγοις τοῦ Πλουτάρχου οὐχ ὁρᾶται τὸ πεφυσημένον τοῦ Λεωνίδου; Τίνα δὲ κακὰ οὐκ ἀκολουθεῖ τῷ ἀλαζόνι;

[1] Περὶ παιδαγωγῶν λέγει Πλούταρχος [αὐτόθ. VII] τάδε παραβολῆς ἄξια. «Ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν ὑπὸ παιδαγωγοῖς τετάχθαι, ἐνταῦθα δὴ πολλὴν ἐπιμέλειαν ἐκτέον ἐστὶ τῆς τούτων καταστάσεως, ὡς μὴ λάθωσιν ἀνδραπόδοις ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. Ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς ὑπερκαταγέλαστόν ἐστι. Τῶν γὰρ δούλων τῶν σπουδαίων τοὺς μὲν γεωργοὺς ἀποδεικνύουσι, τοὺς δὲ ναυκλήρους, τοὺς δὲ ἐμπόρους, τοὺς δὲ οἰκονόμους, τοὺς δὲ δανειστάς· ὅ,τι δ' ἂν εὕρωσιν ἀνδράποδον οἰνόληπτον καὶ λίχνον, πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. Δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύσιν, οἷός περ ἦν ὁ Φοίνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός». Ἀλλ' οἵους Κ. καὶ Π. ἐζήτουν παιδαγωγούς, ἀδύνατον ἦν, ἢ λίαν σπάνιον ἐν τοῖς δούλοις εὑρεῖν, ἐπειδή περ ἐν τοῖς τότε χρόνοις ἡ πνευματικὴ μόρφωσις ἐδεῖτο καὶ χρόνου μακροῦ καὶ δαπάνης οὐ σμικρᾶς. Λέγων τοίνυν Κ. παιδαγωγοὺς νοεῖ ἄνδρας ἐλευθέρας τυχόντας ἀγωγῆς καὶ παιδείας, καὶ ἄλλους παιδεῦσαι καὶ μορφῶσαι ἱκανούς, οἷον καὶ Αἰμύλιος Παῦλος τὸν τῆς Μακεδονίας νικήσας βασιλέα ἐξ Ἀθηνῶν εἰς Ῥώμην ἤγαγε πρὸς τὸ διδάξαι τοὺς αὐτοῦ

παῖδας τῶν Ῥωμαίων ἄρχεσθαι. Ἡ Λατινική, λέγει, ὁμοιάζει τῇ Ἑλληνικῇ, ὡς θυγάτηρ τῇ ἑαυτῆς μητρί, ἐκ ταύτης δὲ καὶ εἰς τὴν ἡμετέραν πᾶσα γνῶσις καὶ σοφία μετωχετεύθη. Οἱ παῖδες ἡμῶν μανθάνουσι καὶ ἄκοντες τὴν γλῶσσαν τῶν γονέων, ὡς ἐν μεγάλῃ οὖσαν χρήσει καὶ παρὰ πάντων λαλουμένην. Ἀλλ' ὅμως δεῖ καὶ τὴν Λατινικὴν εὐθὺς παρακολουθεῖν, ὥστε ἀμφοτέρας σύναμα τοὺς παῖδας μανθάνειν. Τῷ γὰρ μανθάνοντι τὴν Ἑλληνικὴν ἐκ παιδὸς καὶ ταύτην μόνην λαλοῦντι συμπαρομαρτεῖ τὸ μὴ δύνασθαι τὴν Λατινικὴν καθαρῶς ἀπαγγέλλειν, τοῦθ' ὅπερ δυσκόλως ὕστερον διορθοῦται.[1]

παῖδας. Οὐ ζητεῖ δή που παιδαγωγὸν τοῖς παισὶν εἰς τὴν σχολὴν συμπαρακολουθεῖν καὶ τούτοις οἴκαδε ἐπανιοῦσι συνέπεσθαι, [comes· πρβλ. τὰ παρὰ Σουετωνίῳ de gramm. et rhet. 23, ἔκδοσιν Reifferch σελ. 117 « . . . . herilem filium dum comitatur in scolam . . . .»] ἀλλὰ λόγιον καὶ πεπαιδευμένον, διδάξαι καὶ ἠθοποιῆσαι τοὺς παῖδας ἱκανόν. Τοιοῦτοι δὲ γεραροὶ παιδαγωγοὶ ἐπὶ Αὐγούστου παρεκάθηντο ἐν τῷ θεάτρῳ τοῖς τυβεννοφόροις, ἐτιμῶντο μεγάλως καὶ διέφερον τῶν συνήθων δούλων παιδαγωγῶν, ὧν πλήρης ἡ Ῥώμη ἦν τότε, καὶ οἵτινες εὐτελῆ καὶ ἀνάξια τῷ ἔργῳ τοῦ παιδαγωγεῖν μετερχόμενοι ἔργα, περιεφρονοῦντο καὶ διεκωμῳδοῦντο. [Sueton. Aug. 44 — Iuvenal. Sal. III, 65].

[1] Quintil. I, 1, 12—15. Ἐκ τῶν λόγων τούτων, συνάγομεν, ὅτι ἡ Ἑλληνικὴ γλῶσσα ἐθεωρεῖτο τότε πηγὴ πάσης ἐπιστημονικῆς παιδεύσεως καὶ ἐν ταύτῃ οἱ εὐγενεῖς μάλιστα καὶ πλούσιοι Ῥωμαῖοι ἐπαίδευον ἐξ ἁπαλῶν ὀνύχων τὰ ἑαυτῶν τέκνα. Τούτου δὲ χάριν παρεδίδοτο τὰ τέκνα παιδαγωγοῖς Ἕλλησι καὶ ἐδιδάσκετο ἑλληνιστὶ μόνον διαλέγεσθαι. Τοῦτο τὸ ἔθος κατακρίνει Κοϊντυλιανός, ὡς ἐθίζον τοὺς παῖδας ἕνεκα συχνῆς χρήσεως ξένης γλώσσης ἐσφαλμένως τὴν μητρικὴν λαλεῖν, καὶ πρὸς ἀποφυγὴν τοῦ κακοῦ τούτου παραινεῖ συμβαδίζειν παραλλήλως τῇ Ἑλληνικῇ καὶ τὴν σπουδὴν τῆς Λατινικῆς. Τὴν κατάχρησιν ταύτην καὶ Ἰουβενάλης

§ 30. Κοϊντυλιανὸς ἀντιτάσσεται τῇ γνώμῃ τῶν λεγόντων, ὅτι δεῖ τοὺς παῖδας ἀπὸ τῆς ἑπταετοῦς ἡλικίας ἄρχεσθαι τοῦ διδάσκεσθαι, συντάσσεται δὲ τοῖς περὶ τὸν Χρύσιππον, τοῖς λέγουσιν, ὅτι οὐδεμία ἡλικία ὑπάρχει, μὴ χρήζουσα φροντίδος καὶ θεραπείας. Ὁ Χρύσιππος παραδιδοὺς ταῖς τροφοῖς τὰ παιδία, ἵνα τρέφωσι μέχρι τριῶν ἐτῶν, βούλεται ἐκ ταύτης τῆς ἡλικίας καταβάλλεσθαι φροντίδα περὶ ῥυθμίσεως καὶ συνηθείας τούτων εἰς τὸ ἀγαθόν. Ἐθίζοντες δὲ τὰς ψυχὰς τῶν παίδων ἀπὸ τῆς ἡλικίας ταύτης εἰς τὸ ἀγαθόν, δυνάμεθα, ἐπιλέγει Κοϊντυλιανός, σύναμα καὶ τοῦ πνεύματος αὐτῶν ἐπιμελεῖσθαι.[1] Ὅ,τι δ' ἂν ὁ παῖς ἐν τῇ τρυφερᾷ ἐκείνῃ ἡλικίᾳ μανθάνῃ, τοῦτο κέρδος ἐστί· δύναται γὰρ ὕστερον, ἀπὸ ἑπτὰ ἐτῶν, στερεωτέρας κοινωνῆσαι πνευματικῆς τροφῆς. Βούλεται δ' ὅμως τὴν ἐκπαίδευσιν ἐν εἴδει παιδιᾶς γίγνεσθαι, διεγειρομένης τῆς φιλοτιμίας τῶν παίδων ἐπαίνοις καὶ ἀμοιβαῖς.[1]

ὡσαύτως διακωμῳδῶν, λέγει [Sat. VI, 187] «Omnia Graece quum sit turpe magis nostris nescire Latine . . . .»

[1] Ὁ σοφὸς καθηγητὴς τοῦ πανεπιστημίου Würzburg Grassberger τὸ χωρίον τοῦτο τοῦ Κ. μεταφράζων [Der Mussiche unterricht bei den Griechen und Römern σελ. 241] ἐρωτᾷ, διατί ἐνταῦθα οὐ μνημονεύεται Ἀριστοτέλης [Warum hier Aristoteles nicht gennant wird?] Διαπορῶν δὲ περὶ τούτου ὁ σοφὸς καθηγητὴς φαίνεται πιστεύων, ὅτι Ἀριστοτέλης γνωματεύει ἀπὸ ἑπτὰ ἐτῶν ἄρχεσθαι τὸν παῖδα μανθάνειν. Ἀλλ' ἡ γνώμη τοῦ Ἀριστοτέλους ἀκριβῶς ἐξεταζομένη κινδυνεύει διαφέρουσα τῆς τοῦ Ἡσιόδου, ᾗ Ἐρατοσθένης καὶ ἄλλοι ἠκολούθησαν. Παρεδέχετο μὲν γὰρ Ἀριστοτέλης ἀπὸ ἑπτὰ ἐτῶν τὴν δημοσίαν τοῦ παιδὸς παίδευσιν ἄρχεσθαι, οὐκ ἀπέκλειεν ὅμως καὶ πᾶσαν διαμόρφωσιν ἀπὸ τῆς προτέρας ἡλικίας. Τὴν πρώτην γὰρ τῆς ἡλικίας ἑβδομάδα διῄρει εἰς

§ 31. Ἔνιοι ἡγήσαντο οὐ παιδευτέον τοὺς παῖδας ἐλάσσους τῶν ἑπτὰ ἐτῶν, ὡς τῆς ἡλικίας ταύτης πρῶτον δυναμένης τῶν μαθημάτων ἔννοιαν λαμβάνειν καὶ τοῖς πόνοις ἐγκαρτερεῖν. Ταύτην δὲ τὴν γνώμην οἱ πλεῖστοι τῶν πρὸ Ἀριστοφάνους τοῦ γραμματικοῦ

τρία μέρη, εἰς τὴν μέχρι δύο ἐτῶν, εἶτα εἰς τὴν μέχρι πέντε, καὶ τελευταῖον εἰς τὴν μέχρις ἑπτά, ἤθελε δὲ ἐπὶ τῆς τελευταίας ταύτης ὑποδιαιρέσεως τῆς ἡλικίας τοὺς παῖδας ἀκροατὰς γίνεσθαι τῶν ἐπομένων σπουδῶν, ὥστε προπαρασκευάζεσθαι καὶ προαλείφεσθαι. «Διελθόντων δὲ, λέγει, [πολιτ. II. 1336, α'. 3 καὶ ἑξῆς μέχρι 41] τῶν πέντε ἐτῶν, τὰ δύο μέχρι τῶν ἑπτὰ θεωροὺς ἤδη γίνεσθαι τῶν μαθήσεων, ἃς δεήσει μανθάνειν αὐτούς». Ὁ σοφὸς καθηγητὴς φαίνεται παραδραμὼν τὸ χωρίον τοῦτο, ἐν ᾧ δῆλον, ὅτι ἡ ἀκρόασις τῶν μαθημάτων ἄρχεται ἀπὸ τῆς πενταετοῦς ἡλικίας, [διότι τὸ «δεῖ θεωροὺς ἤδη γίνεσθαι τῶν μαθήσεων, ἃς δεήσει μανθάνειν αὐτοὺς» οὐδὲν ἄλλο δηλοῖ, ἤ, ὡς ἡμεῖς νῦν λέγομεν, ἀκροᾶσθαι μὲν τῶν μαθημάτων, ἀλλὰ μὴ εἶναι ἀναγκαῖον τὸν ἐν τοῖς ἀκροωμένοις ἔλεγχον], ἐπιστήσας μόνον τὸν νοῦν ἄλλῳ τοῦ Ἀριστοτέλους χωρίῳ [πολιτ. VII, 15, σελ. 256, Göttl], ἐν ᾧ ταῦτα λέγεται· «δύο δ' εἰσὶν ἡλικίαι, πρὸς ἃς ἀναγκαῖον διῃρεῖσθαι τὴν παιδείαν μετὰ τὴν ἀπὸ τῶν ἑπτὰ μέχρι ἥβης, καὶ πάλιν μετὰ τὴν ἀφ' ἥβης μέχρι τῶν ἑνὸς καὶ εἴκοσιν ἐτῶν· οἱ γὰρ ταῖς ἑβδομάσι διαιροῦντες τὰς ἡλικίας ὡς ἐπὶ τὸ πολὺ λέγουσιν οὐ κακῶς». Ἀλλὰ καὶ ἐν τούτῳ τῷ χωρίῳ Ἀριστοτέλης παραδέχεται οὐκ ἀπολύτως τὴν γνώμην ταύτην, λέγει γάρ, «ὡς ἐπὶ τὸ πολὺ» καὶ οὐ κακῶς». Περὶ δὲ ταύτης τῆς ἑπταετοῦς περιόδου, ἥτις παρὰ τοῖς ἀρχαίοις ἦν μάλα περισπούδαστος, ἀναγινώσκεται ταῦτα παρὰ Φίλωνι [de opificio mundi 35, 36] «ἑπτὰ εἰσὶν ἡλικίαι καθ' Ἱπποκράτην, πρώτη ἀπὸ ἑπταετοῦς ἕως τεσσαρεσκαιδεκάτου, τρίτη ἀπὸ τεσσαρεσκαιδεκάτου ἕως εἰκοστοῦ πρώτου, τετάρτη ἀπὸ εἰκοστοῦ πρώτου ἕως εἰκοστοῦ ὀγδόου, πέμπτη ἀπὸ εἰκοστοῦ ὀγδόου ἕως τριακοστοῦ πέμπτου, ἕκτη ἀπὸ τριακοστοῦ πέμπτου ἕως τεσσαρακοστοῦ δευτέρου, ἡ ἑβδόμη ἀπὸ τεσσαρακοστοῦ δευτέρου ἕως τέλους· ἡ μὲν πρώτη παιδίον, ἡ δευτέρα παῖς, ἡ τρίτη μειράκιον, ἡ τετάρτη νεανίσκος, ἡ πέμπτη ἀνήρ, ἡ ἕκτη πρεσβύτης, ἡ ἑβδόμη γέρων».

γενομένων Ἡσιόδῳ ἀποδιδόασιν. Οὗτος γὰρ πρῶτος τὰς ὑποθήκας, ἐν αἷς τοῦτο γεγραμμένον εὑρίσκεται, οὐ δέχεται τοῦ ποιητοῦ τούτου ἔργον εἶναι. Ἀλλὰ καὶ ἄλλοι συγγραφεῖς, ἐν οἷς καὶ Ἐρατοσθένης, αὐτὸ τοῦτο παρῄνεσαν. Ὀρθότερον ὅμως παραινοῦσιν οἱ περὶ τὸν Χρύσιππον, ἡγούμενοι, ὅτι δεῖ ἡμᾶς πάσης ἡλικίας ἐπιμελεῖσθαι. Οὗτος γάρ, εἰ καὶ τριετίαν ταῖς τροφοῖς δίδωσι, φρονεῖ ὅμως, ὅτι δεῖ αὐτὰς καὶ κατὰ τοῦτον τὸν χρόνον τὰς ψυχὰς τῶν παίδων δι' ὡς οἷόν τε καλλίστων παραινέσεων διαμορφοῦν.[1] Ἀλλὰ διὰ τί ἡ ἡλικία αὕτη ἐπιτηδεία οὖσα πρὸς ἠθικὴν διάπλασιν, οὐκ ἔστιν ἱκανὴ καὶ πρὸς πνευματικὴν παιδαγώγησιν; Καὶ οὐκ ἀγνοῶ, ὅτι καθ' ἅπαντα τὸν περὶ οὗ ὁ λόγος χρόνον μόλις κατορθοῦται, ὅσον ἓν ἔτος μόνον ὕστερον ἐπιτελέσαι δυνήσεται, ἀλλ' ὅμως φαίνονταί μοι οἱ ταύτην τὴν γνώμην ἔχοντες ἧττον ἐν τούτῳ τῶν μαθητῶν, ἢ τῶν διδασκάλων φείσασθαι. Παρὰ ταῦτα δὲ τί κάλλιον δύνανται οἱ παῖδες πράττειν, ἅμα λαλεῖν μαθόντες; Ἀνάγκη γὰρ τούτοις πράττειν τι.[2]

[1] Τοιαύτην τινὰ γνώμην εἶχον καὶ οἱ σοφοὶ τῶν Ἑλλήνων Ἀριστοτέλης καὶ Πλάτων. Καὶ περὶ μὲν Ἀριστοτέλους ἐν τοῖς ἄνω διελάβομεν, Πλάτων δὲ διαρρήδην λέγει, «ὅτι οὐ μικρὸν εἰς ἀρετὴν τοῖς τροφίμοις συντελεῖ ἀκριβὴς καὶ μὴ πάρεργος φροντὶς καὶ κατὰ τὰ τρία πρῶτα τῆς ἡλικίας ἔτη. Τῷ γὰρ προθυμουμένῳ τῷ τε σώματι τὴν προσήκουσαν ἀποδιδόναι θεραπείαν καὶ τῇ ψυχῇ μαθήματα καὶ ἔθη τὸ τέλεόν τε καὶ ἱκανὸν αὐτῶν ἐκλαμβάνειν, πᾶσα νὺξ καὶ πᾶσα ἡμέρα οὐχ ἱκανή ἐστιν». [Πλάτ. πολιτ. Β. 377. 6].

[2] Ὀρθῶς ἀποκρίνεται εἰς τοῦτο Γεδίκιος [Gedik. Quintilians Gedanken über die öffentliche Erziehung 1803] «den Körber üben und sich des Lebens freuen» τουτέστι τὸ σῶμα ἀσκεῖν καὶ τῶν ἀγαθῶν τοῦ βίου ἀπολαύειν. [πρβλ. Cramers τομ. 2, σελ. 664 σημ. 2040].

Ἤ τίνος ἕνεκα δεῖ ἡμᾶς ὑπερορᾶν καὶ τὸ ἐλάχιστον κέρδος, ὅπερ δύναται μέχρι τῆς τῶν ἑπτὰ ἐτῶν ἡλικίας προκύψαι; Εἰ γὰρ καὶ ἐλάχιστόν ἐστι τὸ ἐν τῇ προτέρᾳ ἡλικίᾳ συγκομισθέν, δυνήσεται ὅμως ὁ παῖς κατ᾽ αὐτὸ τοῦτο τὸ ἔτος μείζω μαθεῖν, καθ᾽ ὃ τὰ μικρότερα ἐμεμαθήκει. Τοῦτο δὲ ἀπὸ ἔτους εἰς ἔτος προαγόμενον γίνεται ἐν συνόλῳ μέγα τι.[1] Συνελόντι δ᾽ εἰπεῖν ὁ χρόνος, οὗ ἡ παιδικὴ ἡλικία ἐκαρπώθη, ὠφέλιμος τῇ νεανικῇ γίνεται. Τοῦτο δὲ καὶ περὶ τῶν ἑπομένων ἐτῶν συμβουλεῦσαί τις δύναται, μὴ βραδέως μανθανέτω ὅ,τι ἕκαστον μαθεῖν προσήκει. Μὴ τοίνυν ἀπολλύωμεν τὸν εὐθὺς πρῶτον τῆς ἡλικίας χρόνον, καὶ καθ᾽ ὅσον αἱ τῶν γραμμάτων ἀρχαὶ ἐκ μόνης τῆς μνήμης ἐξαρτῶνται, ἣν οὐ μόνον ἤδη οἱ παῖδες ἔχουσιν, ἀλλὰ καὶ ὡς μάλιστα πιστήν.[2] Ἀλλ᾽ οὐ τοσοῦτον ἄπειρος τῶν ἡλικιῶν εἰμι, ὥστε πιστεύειν, ὅτι δεῖ ἀπὸ παίδων ἁπαλῶν πολλὰ καὶ δύσκολα ἀπαιτεῖν. Ἀπὸ τούτου γὰρ δεήσει ἡμᾶς φυλάττεσθαι, μὴ ὁ παῖς, ὁ

[1] Πρβλ. τὸ Ἡσιόδειον ἐκεῖνο
» Εἰ γὰρ κὲν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο
καὶ θαμὰ τοῦθ᾽ ἔρδοις, τάχα κὲν μέγα καὶ τὸ γένοιτο».

Τὸ Ἡσιόδειον δὲ τοῦτο, λέγει Πλούταρχος [πῶς ἄν τις αἴσθοιτο ἑαυτοῦ προκόπτοντος ἐπ᾽ ἀρετῇ III], «οὐ πρὸς ἀργυρίου μόνον αὔξησιν εἴρηται καλῶς, ἀλλ᾽ εἰς ἅπαντα ποιεῖ, μάλιστα δ᾽ εἰς ἀρετῆς ἐπίδοσιν, πολὺ καὶ τελεσιουργὸν ἔθος τοῦ λόγου προσλαμβάνοντος».

[2] Ἄξια παραβολῆς καὶ τὰ τοῦ Πλουτάρχου [περὶ παίδ. ἀγ. XIII] «Μὴ λανθανέτω τοίνυν τοῦτο τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. Ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα».

μήπω τὰς σπουδὰς ἀγαπᾶν δυνάμενος, μισήσῃ αὐτάς, καὶ τὴν ἀποστροφὴν ταύτην καὶ πέραν τῶν πρώτων τῆς ἡλικίας ἐτῶν ἐπεκτείνῃ.[1] Ἔστω δὲ τῷ παιδὶ ἡ σπουδὴ παιδιά· ἐρωτάσθω δὲ παρ' ἡμῶν οὗτος καὶ ἐπαινείσθω, ἐσθ' ὅτε δὲ καὶ ἡδονὴν ἐν τῷ πράττειν ἐχέτω· καί ποτε τούτου μὴ θέλοντος, ἕτερος διδασκέσθω, ᾧ ἁμιλλᾶται· διαγωνιζέσθω ἐν τούτοις ἐκείνῳ καὶ νομιζέτω πολλάκις, ὅτι νικητὴς ἐγένετο· καὶ ἀμοιβαῖς, ὧν ἡ ἡλικία αὕτη ἐπιδεκτική ἐστι, παρορμάσθω.[2]

[1] Σοφῶς πάνυ Πλούταρχος καὶ περὶ τούτων διεξέρχεται, εἰ καὶ τὸν λόγον ποιεῖται περὶ τῆς παιδικῆς ἡλικίας καθόλου» . . . Σπεύδοντες γὰρ [οἱ γονεῖς] τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι, πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐκπίπτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις οὐ δέχονται τὴν μάθησιν εὐηνίως. Ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ' ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους, ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη, οὐδὲ πόλεμος ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμὼν, ἀλλὰ καὶ εὐδία· οὐδὲ ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. Συνελόντι δ' εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστι. Καὶ οὐκ ἐπὶ τῶν ζώων μόνον τοῦτο ἴδοι τίς γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων· καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. Καθόλου δὲ σώζεται, σῶμα μὲν ἐνδείᾳ καὶ πληρώσει, ψυχὴ δὲ, ἀνέσει καὶ πόνῳ»· [αὐτόθ. XVII. πρβλ. καὶ Ἀριστοτέλ. πολιτ. III. 11 σελ. 107 — καὶ Πλάτ. περὶ πολιτ. VII σελ. 537. A.].

[2] Τὸν γλυκὺν καὶ κεχαρισμένον καὶ ἀρεστὸν τοῦτον πρὸς τὰ παιδία τρόπον ἔλεγον οἱ Ἕλληνες Ὑποκορισμόν. Φιλόστρατος γὰρ [ἐν εἰκ. II, 2, ἔκδ. Kays σελ. 408] λέγει περὶ Χείρωνος τοῦ Ἀχιλλέως παιδαγωγοῦ «καὶ ὑποκορισμοῦ αὐτῷ ἔπεστιν, εἰδώς που ὁ Χείρων, ὅτι τοὺς παῖδας τοῦτο μειλίσσεται καὶ τρέφει μᾶλλον, ἢ τὸ γάλα»· ὡσαύτως καὶ Ἀριστοτέλης ὅμοια τοῖς Κοϊντυλιανοῦ προ-

Μικρὰ παραινοῦμεν, λέγει, καὶ ὅμως ἐπαγγελλόμεθα τὴν διαμόρφωσιν ῥήτορος· ἀλλὰ καὶ αἱ σπουδαὶ ἔχουσι τὴν νηπιακὴν αὐτῶν ἡλικίαν· καὶ καθὼς ἡ τροφὴ τῶν ὕστερον ἰσχυροτάτων σωμάτων ἀρχὴν λαμβάνει ἀπό τε τοῦ γάλακτος καὶ τοῦ λίκνου, οὕτω καὶ ὁ μέλλων εὐγλωττότατος γενέσθαι ἐκλαυθμύρισέ ποτε καὶ πρῶτον ἐπειράθη διὰ φωνῆς ἀβεβαίου λαλεῖν, καὶ κατεπονήθη περὶ τὰ σχήματα τῶν γραμμάτων. Καὶ ἡ γνῶσις πράγματός τινος οὐκ ἔστι διὰ τοῦτο περιττή, διότι οὔπω αὕτη ἐξαρκεῖ. Ἀλλ' ἐὰν μηδεὶς κατηγορῇ τοῦ πατρός, τοῦ νομίζοντος, ὅτι οὐ παραμελητέα ταῦτα τῷ ἑαυτῷ υἱῷ, διατὶ κατηγορήσει τοῦ δημοσιεύσαντος ὅσα αὐτὸς ἐν τῇ αὐτοῦ οἰκίᾳ ὡς ὀρθῶς ἔχοντα ἐφήρμοσε;[1] Καὶ κατὰ τοσοῦτον μᾶλλον, καθ' ὅσον τὰ μικρὰ ῥᾳδίως οἱ μικροὶ μανθάνουσι. Καὶ καθὼς τὰ σώματα οὐ δύναται καμφθῆναι καὶ σχηματισθῆναι, ἂν μὴ ἁπαλὰ καὶ τρυφερὰ ᾖ, οὕτω καὶ τὸ πνεῦμα πλέον τοῦ δέοντος φορτιζόμενον, καθίσταται τοῦ χρόνου προϊόντος πρὸς πλείω ἀνεπίδεκτον.»[2]

εἶπεν [Ἠθικ. Νικ. X, 1, 1] «διὸ παιδεύουσι τοὺς νέους οἰακίζοντες ἡδονῇ καὶ λύπῃ». Καὶ Μένανδρος [ἔν τινι ἀποσπάσματι παρὰ Meineke Fr. Comicorum Graec. τόμ. IX. σελ. 69.]» . . .

οὐ λυποῦντα δεῖ
παιδάριον ὀρθοῦν, ἀλλὰ καὶ πείθοντά τε.

1 Ἐκ τούτου βεβαιούμεθα, ὅτι Κοΐντ. αὐτὸς ἐδίδαξε τὰ ἑαυτοῦ τέκνα καὶ τὰ ἐκ πείρας ὡς καλὰ δοκιμασθέντα ἐδημοσίευσεν.

2 «Ὥσπερ γὰρ [λέγει Πλούταρχ. περὶ παίδ. ἀγωγ. V] τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γεννήσεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραβῆ φύηται . . . Εὔπλαστον γὰρ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντήκεται· πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται κ.τ.λ.»

§ 32. Πρακτικωτάτους ἅμα δὲ καὶ χρησιμωτάτους τρόπους ἀναγνώσεως καὶ γραφῆς διδάσκει Κοϊντυλινός.α Ὄντες γὰρ οὗτοι πείρας καὶ παρατηρήσεως συμπεράσματα, νομίζονται ἔτι καὶ νῦν σπουδῆς ἄξιοι καὶ ὑπὸ πολλῶν παιδαγωγῶν μελετηθέντες καὶ δοκιμασθέντες ἐφαρμόζονται. Διὰ τούτων δέ, ὡς καὶ διὰ πολλῶν διδακτικῶν παρατηρήσεων, ὁ τοῦ Κοϊντυλιανοῦ αἰὼν συνάπτεται τοῖς νεωτέροις χρόνοις, ἐν οἷς ἡ παιδαγωγικὴ ἀνθοῦσαν ἀκμὴν ἔχουσα φιλοτίμως καὶ τελεσφόρως ἐργάζεται παρασχεῖν τοῖς παισίν, ὡς οἷόν τε ἀπονωτέραν καὶ τερπνὴν τὴν στοιχειωτικὴν διδασκαλίαν.[1] Ἀλλ' ἅλις μὲν τούτων, νῦν δὲ ἴωμεν αὐτὰς τοῦ συγγραφέως γνώμας ὡς οἷόν τε βραχέως καταγράψοντες.[2] Καὶ πρῶτον μὲν ἐπικρίνει οὖ-

[1] Οὕτως ἐκαλεῖτο ὕστερον ἡ παρ' Ἕλλησι πρώτη τῶν παίδων ἐκπαίδευσις ἐκ τοῦ στοιχείου τὸ ἔτυμον ἔχουσα [Κλήμ. Στρωμ. V. σελ. 673]. Τί δ' ἔστι στοιχεῖον; «Στοιχεῖον μὲν οὖν, [λέγει Ἀριστοτέλης ποιητικ. 20] ἔστι φωνὴ ἀδιαίρετος, οὐ πᾶσα δέ, ἀλλ' ἐξ ἧς πέφυκε συνθέτη γίνεσθαι φωνή . . .». Διονύσιος Ἁλικαρνασσεὺς περὶ συνθέσεως λέξ. 14 ὁρίζει οὕτω τὰ στοιχεῖα· «στοιχεῖα καλοῦμεν, ὅτι πᾶσα φωνὴ τὴν γένεσιν ἐκ τούτων λαμβάνει πρῶτον καὶ τὴν διάλυσιν εἰς ταῦτα ποιεῖται τελευταίαν» κ.τ.λ. Τὰ στοιχεῖα δὲ λέγεται καὶ γράμματα, εἰ καὶ κυρίως ὠνομάσθησαν γράμματα «ὅτι γραμμαῖς τισι σημαίνεται»· [ἴδ. αὐτόθι]. Περὶ δὲ διαφορᾶς στοιχείου καὶ γράμματος ἴδε Behk. An. Gr. II, σελ. 795.

[2] Ἄξια παραβολῆς τὰ ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως λεγόμενα [περὶ τῆς θαυμαστῆς δυνάμεως τοῦ λέγειν παρὰ Δημοσθέν. 52] «Ὅταν δὲ τὴν τούτων ἁπάντων ἐπιστήμην περιλάβωμεν, τότ' ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν, καὶ συλλαβὴν μὲν καὶ βραδέως τὸ πρῶτον, ἅτε νεαρᾶς οὔσης ἔτι τῆς ἕξεως. Προβαίνοντος δὲ τοῦ χρόνου καὶ τόνον ἰσχυρὸν τῇ ψυχῇ περιτιθέντος ἐκ τῆς συνεχοῦς μελέτης, τότ' ἀπταίστως τε καὶ κατὰ πολλὴν εὐπέτειαν καὶ πᾶν ὅ,τι

τος τὴν καθ᾽ οὓς ἔζη χρόνους ἐν χρήσει οὖσαν τοῦ διδάσκειν τὸν ἀλφάβητον μέθοδον, καθ᾽ ἣν ἐδιδάσκετο μὲν τὰ ὀνόματα καὶ ἡ συνέχεια τῶν γραμμάτων, περὶ ἐλαχίστου δὲ ἐποιεῖτο τὰ σχήματα.» Τοῦτο, λέγει, οὐ μικρὰν παρέχει δυσκολίαν· ἀπαγγέλλων γὰρ ὁ παῖς τὰ γράμματα, ὡς ἐδιδάχθη, ἀπὸ μνήμης, οὐ προσέχει τὸν νοῦν τούτοις. Διὰ τοῦτο δὲ καὶ οἱ διδάσκοντες, ὅπως βεβαιωθῶσιν, ὅτι οἱ μαθηταὶ ἔμαθον τὰ γράμματα, οὐ μόνον καθ᾽ ἣν συνεχῆ τάξιν ταῦτα γράφεται, ἀλλὰ καὶ τὸ σχῆμα, ἀναμιγνύουσι τὰ στοιχεῖα καὶ σποράδην τοὺς παῖδας ἐρωτῶσι. Καθόλου δ᾽ εἰπεῖν δεῖ τοὺς παῖδας μανθάνειν διαγιγνώσκειν τὰ γράμματα, ὡς καὶ τοὺς ἀνθρώπους, ἔκ τε τῶν ὀνομάτων καὶ ἐκ τοῦ σχήματος. Κοϊντυλιανὸς τέλος οὐκ ἀποδοκιμάζει τὸ ἔθος τοῦ διδάσκειν τοὺς παῖδας τὸν ἀλφάβητον διὰ γραμμάτων ἐξ ἐλέφαντος πεποιημένων, καὶ εἴ τι ἄλλο τοιοῦτον, ἐφ᾽ ᾧ ἥδεται ἡ παι-

ἂν ἐπιδῇ τις βιβλίον, οὐδὲν ἐκείνων ἔτι τῶν πολλῶν θεωρημάτων ἀναπολοῦντες, ἅμα νοήσει διερχόμεθα». Πάντα δὲ ὅσα Κοϊντυλιανὸς λέγει, ἀπετέλει παρ᾽ Ἕλλησι μέρος τῆς γραμματικῆς. Ἦν δὲ ἡ γραμματικὴ τῶν παίδων λίαν ἁπλῆ, ὡς Φίλων λέγει [περὶ τῆς εἰς τὰ προπαιδ. συνόδου σελ. 348, B. G.] καλῶν αὐτὴν «γραμματιστικὴν καὶ γραμματικὴν παιδικὴν ἀτελεστέραν». Ὁ ταύτην δὲ διδάσκων ἐκαλεῖτο γραμματιστής, ἢ ὡς ἡμεῖς σήμερον λέγομεν ἐν Ἑλλάδι, δημοδιδάσκαλος ἢ ἀκριβέστερον γραμματοδιδάσκαλος, ὡς ἔτι καὶ νῦν καλεῖται ὁ διδάσκων τοὺς παῖδας χωρίου τὴν ἀνάγνωσιν, ἐσθ᾽ ὅτε δὲ καὶ γραφὴν καὶ ἀρίθμησιν. Ἄξιον δὲ σημειώσεώς ἐστι καὶ τὸ ὄνομα, ὃ δίδεται τῷ παιδὶ τῷ περὶ τὰ πρῶτα ἐκεῖνα ἐνασχολουμένῳ τῆς διανοητικῆς μορφώσεως «εἶναι εἰς τὰ κοινὰ» ἢ «μανθάνει τὰ κοινὰ γράμματα». Περὶ δὲ τοῦ ἔργου τοῦ γραμματιστοῦ Σουΐδας λέγει [I, σελ. 494] «ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων».

δικὴ ἡλικία, ἥτις καὶ παίζουσα μανθάνει. Καὶ ταῦτα μὲν περὶ τῶν γραμμάτων, περὶ δὲ συλλαβισμοῦ λέγει, ὅτι δεῖ τὸν παῖδα πάσας τὰς συλλαβὰς μανθάνειν καὶ μὴ τὰς δυσκολωτάτας τούτων ἀναβάλλειν, μέχρις οὗ αὗται ἐν ταῖς λέξεσι προσπέσωσι. Παραινεῖ δὲ μὴ τυφλῶς πιστεύειν τῇ πρώτῃ ἀπομνημονεύσει, ἀλλ᾽ ἔσται προὐργιαίτερον ἐπαναλαμβάνειν τὰς συλλαβὰς καὶ ἐπὶ μακρὸν αὐτὰς μελετᾶν. Περὶ δὲ ἀναγνώσεως κατὰ μέρος λέγει, ὅτι δεῖ τὸν παῖδα μὴ ἐπιχειρεῖν ταχέως ἀναγινώσκειν πρὸ τοῦ μαθεῖν μετ᾽ ἀλλήλων τὰ γράμματα ἑνοῦν εὐπετῶς καὶ οὐχ ἡμαρτημένως. Τούτου δὲ γενομένου, δεῖ τὸν παῖδα ἄρχεσθαι σχηματίζειν ἐκ συλλαβῶν λέξεις καὶ καὶ ἐκ λέξεων λόγον. Ἔστι δ᾽ ἄπιστον ὅσον ἡ ταχύτης ἐν τῷ ἀναγινώσκειν ἐμποδίζει, καὶ ὅσον βραδυποροῦσιν οἱ παῖδες οἱ θέλοντες σπεύδειν. Συμβαίνει γὰρ τοῖς τολμῶσι πλέον τοῦ δύνασθαι ἀμφιβάλλειν, διακόπτεσθαι, ἐπαναλαμβάνειν, σφαλλομένοις δ᾽ αὐτοῖς μὴ δύνασθαι ἀναγινώσκειν μηδὲ τὰ γινωσκόμενα. Ἔστω τοίνυν πρῶτον ἡ ἀνάγνωσις βεβαία, εἶτα συνημμένη καὶ ἐπὶ πολὺν χρόνον βραδεῖα, μέχρις οὗ διὰ τῆς ἀσκήσεως κατορθωθῇ ἡ ἄνευ ἁμαρτημάτων ταχύτης. Τὸ γὰρ πρὸς τὰ δεξιὰ προτρέχειν, ὡς πάντες συμβουλεύουσι, καὶ προβλέπειν τὸ ἐν συνεχείᾳ, οὐ μόνον μαθήσεως, ἀλλὰ καὶ ἀσκήσεως ἔργον ἐστίν. Τῷ γὰρ τὰ ἑπόμενα βλέποντι ἀνάγκη τὰ προτεταγμένα γινώσκειν, διαιρουμένης δὲ τῆς προσοχῆς τοῦ νοῦ, ὅπερ καὶ τὸ πάντων χαλεπώτατον, ἄλλο μὲν ἡ γλῶσσα λέγει, ἄλλο δὲ οἱ ὀφθαλμοὶ βλέπουσι. Ἀποβαίνει δ᾽ ἡ γλῶσσα τῶν παίδων εὐστροφωτέρα καὶ ἡ ἀπαγγε-

λία καθαρωτέρα, ἐὰν ἀναγκάζωμεν αὐτοὺς ἐπαναλαμβάνειν, ὡς οἷόν τε ταχέως ὀνόματά τινα καὶ προτάσεις ἐκ πολλῶν καὶ λίαν σκληρῶς ἀλλήλαις συνημμένων συλλαβῶν πεποιημένας καὶ οὕτως εἰπεῖν τραχείας πρὸς ὡς οἷόν τε ταχεῖαν ἀπαγγελίαν. Τὰ τοιαῦτα δὲ χαλινοὶ καλοῦνται. Πολλὰ γὰρ τῆς γλώσσης ἁμαρτήματα, ἂν μὴ ἀπὸ τῶν πρώτων ἐτῶν ἀποκοπῶσι, ῥιζοῦνται οὕτως, ὥστε ἀδύνατος ὕστερον ἀποβαίνει ἡ τούτων θεραπεία.

§ 33. Ἡ διδασκαλία καὶ γνῶσις τῶν τοῦ ἀλφαβήτου γραμμάτων ἦν παρ' Ἕλλησι τὸ πρῶτον τῆς τοῦ πνεύματος μορφώσεως βῆμα. Τούτου δ' ἕνεκα ἐκάλουν καὶ τὰ γράμματα στοιχεῖα, ἤτοι τὰ πρῶτα γνωστικὰ σημεῖα, ἀφ' ὧν πᾶσα φωνὴ τὴν γένεσιν λαμβάνει καὶ τὴν διάλυσιν ἐνταῦθα τὴν τελευταίαν ποιεῖται. Ὡς δὲ διὰ τῆς τροφῆς ἐνόουν οἱ Ἕλληνες τὰς πρώτας τῆς σωματικῆς ἀγωγῆς ἀρχάς, οὕτω καὶ καὶ διὰ τῶν γραμμάτων τὴν βάσιν τῆς πνευματικῆς.[1] Διὰ τοῦτο Κοϊντυλιανὸς, καί περ τὴν μόρφωσιν ῥήτορος προτιθέμενος, οὐ διστάζει περὶ τῶν στοιχείων ἐνδιατρίψαι, καὶ τρόπους πρὸς εὐκολωτέραν τούτων ἐκμάθησιν καταγράψαι. Ἐκθεὶς οὖν, ὡς ἐν τοῖς ἄνω εἴδομεν, τὰ περὶ γραμμάτων, συλλαβισμοῦ καὶ ἀναγνώσεως, εὐθὺς τὸν λόγον ποιεῖται καὶ περὶ γραφῆς, πρακτικὰς καὶ ὠφελίμους καὶ περὶ ταύτης καταγράφων μεθόδους. Νομίζει δὲ ἀνάγνωσιν καὶ γραφὴν οὕτω μετ' ἀλλήλων συνδεδεμένας, ὥστε περὶ ἀμφοτέρων τὸν λόγον διέρχεται, ἀναμὶξ καὶ ἀδιακρί-

[1] Ξενοφ. ἀπομνημονευμ. II, 1, 1. «Βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς, ὥσπερ ἀπὸ τῶν στοιχείων;»

τως σχεδὸν ἐναλλάσσων. « Ἱκανῶν δὲ, λέγει, γενομένων τῶν παίδων τὰ γράμματα ἀπομιμεῖσθαι, νομίζω καλὸν τούτους ἐγχαράττειν αὐτὰ ἐπὶ σανίδος, ἵνα διὰ τῶν αὐλάκων διευθύνωσι τὴν γραφίδα. Διὰ τούτου γὰρ δυσκολώτερον σφάλλονται, ἢ ἐπὶ τῶν ἐκ κηροῦ ἀβάκων, διότι τὰ ἑκατέρωθεν ἐξέχοντα χείλη συνέχει τὴν γραφίδα καὶ οὐκ ἐᾷ αὐτὴν ὑπὲρ τὰ ἐσκαμμένα ἐξέρχεσθαι.[1] Εἰ δὲ τὸ παιδίον ταχύτερον καὶ συχνότερον τοῖς ἀσφαλέσιν ἴχνεσιν ἀκολουθεῖ, ἐκγυμνάζει ἅμα καὶ τοὺς δακτύλους καὶ οὐκ ἔχει χρείαν ξένης βοηθείας, ἵνα ἡ χεὶρ αὐτοῦ ὁδηγῆται. Ἡ φροντὶς δὲ τοῦ καλῶς καὶ ταχέως γράφειν, ὅπερ συνήθως καὶ παρὰ πολλῶν δοκίμων ἀμελεῖται, ἐνδιαφέρει οὐκ ὀλίγον. Ὄντος γὰρ τοῦ γράφειν ἐν ταῖς σπουδαῖς κυριωτάτου, διὰ τούτου μόνου ἀληθὴς καὶ ἐπὶ στερεᾶς βάσεως κειμένη πρόοδος ἐπιτυγχάνεται· βραδύτερον γινομένη γραφὴ ἐμποδίζει καὶ αὐτὴν τὴν σκέψιν, δυσκίνητος δὲ καὶ ἄκριτός ἐστιν ἀκατάληπτος, ἐξ ἧς ἕπεται καὶ ἄλλος πόνος, ἤτοι ὑπαγορεύειν τὰ μεταγραπτέα. Ἔσται τοίνυν τερπνὸν πάντοτε καὶ πανταχοῦ καὶ μάλιστα ἐν ἐπιστολαῖς ἀπορρήτοις καὶ οἰκείαις μηδὲ τοῦτο ἀνεπιμέλητον ἐᾶν. Ὅταν δὲ τὸ παιδίον κατὰ τὸ εἰωθὸς ποιήσηται ἀρχὴν τοῦ γράφειν, φροντιζέτωσαν (οἱ διδάσκαλοι), ἵνα μὴ τοῦτο γράφῃ τὰς κοινὰς καὶ τυχούσας τῶν λέξεων. Δύναται γὰρ τοῦτο

[1] Τούτῳ ἐχρῶντο οἱ Ἕλληνες γραμματισταί· θέλοντες γὰρ κατὰ τὴν μαρτυρίαν τοῦ Πλάτωνος [Πρωτογ. σελ. 326, D] βοηθεῖν τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων, ὑπέγραφον γραμμὰς τῇ γραφίδι [ἐπὶ τῶν ἐκ κηροῦ ἀβάκων] καὶ διδόντες τούτοις τὸ γραμματεῖον, ἠνάγκαζον γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν.

περὶ ἄλλο τι ἐνασχολούμενον καὶ τὴν σημασίαν τῶν δυσκόλων καὶ σκοτεινῶν λέξεων, ὅπερ οἱ Ἕλληνες γλώσσας καλοῦσι, μανθάνειν, καὶ περὶ τὰ πρῶτα τῶν στοιχείων διατρίβον, περιποιεῖν ἑαυτῷ γνώσεις, ἃς χρεία ἔσται ὕστερον χρόνου ἰδίου μαθεῖν. Δεῖ δὲ τὰς προτάσεις, ἃς προτίθεμεν τοῖς παισὶ πρὸς ὑπόδειγμα, μηδαμῶς κενὰς ἐννοίας εἶναι, ἀλλ᾽ ἠθικήν τινα διδασκαλίαν ἐνέχειν[1]. Ἡ μνήμη δὲ διατηρήσει ταῦτα πάντα μέχρι γήρως, βαθέως τῇ ψυχῇ ἐγκεχαραγμένα, καὶ δι᾽ αὐτῶν καὶ τὰ ἤθη διαμορφωθήσεται. Διδασκέτωσαν τοίνυν τοὺς παῖδας μετὰ παιδιᾶς καὶ χάριτος τὰς μνήμης ἀξίας τῶν μεγάλων ἀνδρῶν ῥήσεις καὶ ἐκ τῶν ποιητῶν μάλιστα τὰ ἐκλεκτὰ χωρία, ἐφ᾽ οἷς οἱ παῖδες μᾶλλον ἥδονται. Ταῦτα δὲ πάντα ἀσκεῖ τὴν μνήμην, ἥτις, οὖσα τῷ ῥήτορι μάλιστα ἀναγκαία, διὰ τῆς ἀσκήσεως κατ᾽ ἐξοχὴν ἐνισχύεται καὶ τρέφεται. Παρὰ ταῦτα δὲ ἐν τῇ τρυφερᾷ ἐκείνῃ ἡλικίᾳ, ἐν ᾗ οἱ παῖδες οὐδὲν ἀφ᾽ ἑαυτῶν παραγαγεῖν ἔχουσιν, ἡ μνήμη τυγχάνει τὸ μόνον πρᾶγμα, ὅπερ τούτοις προσγίνεται διὰ τῆς τῶν διδασκόντων ἐπιμελείας.[2]

[1] Τοῦτο ἔπραττον οἱ Ἕλληνες τὰς καλλίστας τῶν γνωμῶν συνάγοντες καὶ τοῖς παισὶ πρὸς τὸ ἐκμανθάνειν παρέχοντες, ὡς Πλάτων [Νομ. VII, σελ. 810 E] λέγει, «οἱ δὲ πάντων κεφάλαια ἐκλέξαντες καὶ τινας ὅλας ῥήσεις εἰς ταὐτὸ ξυναγαγόντες ἐκμανθάνειν φασὶ δεῖν εἰς μνήμην τιθεμένους». Σοφῶς ὡσαύτως καὶ Πλούταρχος [πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν I] συνάγει τὴν ἐκ τῶν ποιημάτων ὠφέλειαν . . . «ὅθεν, λέγει, οὐ φευκτέον ἐστὶ τὰ ποιήματα τοῖς φιλοσοφεῖν μέλλουσιν, ἀλλ᾽ ἐν ποιήμασι προσφιλοσοφιτέον. Ἐθιζομένους ἐν τῷ τέρποντι τὸ χρήσιμον ζητεῖν καὶ ἀγαπᾶν». Καὶ ἀνωτέρω ὁ αὐτὸς λέγει, «ὡς . . . ., οὕτω τοὺς λόγους ἡ ποίησις ἐκ φιλοσοφίας ἀναλαμβάνουσα μιγνυμένους πρὸς τὸ μυθῶδες, ἐλαφρὰν καὶ προσφιλῆ παρέχει τοῖς νέοις τὴν μάθησιν».

[2] Ἄξια ἀναγραφῆς ἐστι καὶ τὰ ὑπὸ Πλουτάρχου περὶ μνήμης

§ 34. Ἐν τῷ ζητήματι τούτῳ « πότερόν ἐστι λυσιτελέστερον οἴκοι τὸν παῖδα διδάσκεσθαι, ἢ ἐν ταῖς σχολαῖς», Κοϊντυλιανὸς ἀναφαίνεται κρείττων ἑαυτοῦ. Ἐν τούτῳ γὰρ διαλάμπει ἡ ἀρετὴ τοῦ ἀληθοῦς παιδαγωγοῦ, ὃς πρὸς λύσιν τοῦ μεγάλου τούτου κοινωνικοῦ ζητήματος συνήνωσε τὴν πεῖραν τῇ ἐπιστήμῃ. Καὶ οὐκ ἀγνοῶ μέν, ὅτι καὶ ἄλλοι πρὸ αὐτοῦ καὶ μάλιστα φιλόσοφοι Ἕλληνες τὴν ἀνατροφὴν καὶ ἐκπαίδευσιν τῶν τέκνων τῇ πόλει παραδιδόασι,[1] καὶ τοῦτο ὡς ἐπὶ τὸ πολὺ ἐγίνετο ἐν Σπάρτῃ καὶ ἐν Ἀθήναις, ἀλλ' ὁ Κοϊντυλιανὸς κατέγραψε τοὺς σπουδαιοτέρους τῶν λόγων περὶ προτιμήσεως τῆς δημοσίας ἐκπαι-

λεγόμενα διὰ τὸ διδακτικόν, ὅπερ παρεμφερὲς τοῖς τοῦ Κοϊντυλιανοῦ. «Πάντων δὲ μάλιστα, λέγει, τὴν μνήμην τῶν παίδων ἀσκεῖν, καὶ συνεθίζειν. Αὕτη γὰρ ὥσπερ τῆς παιδείας ἐστὶ ταμεῖον καὶ διὰ τοῦτο μητέρα τῶν Μουσῶν ἐμυθολόγησαν εἶναι τὴν Μνημοσύνην, αἰνιττόμενοι καὶ παραδηλοῦντες, ὅτι οὐδὲν οὕτως γεννᾶν καὶ τρέφειν, ὡς ἡ μνήμη, πέφυκε. Καὶ τοίνυν ταύτην κατ' ἀμφότερα ἀσκητέον, εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμονες. Τὴν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιρρώσομεν, τὴν δ' ἔλλειψιν ἀναπληρώσομεν· καὶ οἱ μὲν τῶν ἄλλων ἔσονται βελτίους, οἱ δ' ἑαυτῶν . . . Μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν». [περ. παίδ. ἀγ. XIII].

[1] Πλάτων μάλιστα νομοθετεῖ καὶ γυμνάσια καὶ διδασκαλεῖα κοινὰ καὶ διδασκάλους ἐν τούτοις ὁρίζει διδάσκειν πάντα ὅσα τε πρὸς πόλεμον καὶ ὅσα πρὸς μουσικήν. Οὗτος δὲ πρῶτος, ὧν ἡμεῖς ἴσμεν, καὶ τὴν ὑποχρεωτικὴν μαθητείαν, ἢ τὴν ἀναγκαίαν τῶν παίδων παίδευσιν [Schulzwang ἢ obligatorische Erziehung] νομοθετεῖ, ὡς τούτων τῇ πόλει μᾶλλον, ἢ τοῖς γονεῦσιν ἀνηκόντων· τοῦτο γὰρ διὰ τοῦ ἐ ξ ἀ ν ά γ κ η ς δηλῶσαι βούλεται. [Πλ. Νομ. Ζ, 804 d. 813. b. e].

δεύσεως καὶ πικρῶς κατέκρινε τὰ διεφθαρμένα τῶν εὐγενῶν Ῥωμαίων ἤθη καὶ τὴν πτῶσιν τῆς οἴκοι γινομένης πρότερον ἀνατροφῆς τῶν παίδων ἱστόρησεν. Ὁ διερχόμενος δὲ τὰς σελίδας ἐκείνας νομίζει ἴσως, ὅτι ἀναγινώσκει περιγραφὴν τῶν ἀνωτέρων τάξεων ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις. Ὡς γὰρ τότε ἐπὶ τῶν αὐτοκρατόρων οἱ οἰκιακοὶ δεσμοὶ παρέλυσαν, ἡ δ᾽ ἀνατροφὴ καὶ ἐκπαίδευσις τροφοῖς ἀνετίθετο καὶ δούλοις καὶ παιδαγωγοῖς, μὴ τῆς δεούσης ἀγωγῆς καὶ παιδείας τετυχηκόσιν, οὕτω καὶ νῦν ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς οἴκοις τῶν εὐγενῶν καὶ πλουσίων συμβαίνει. Ὡς δὲ τότε ἐζήτουν τοὺς παιδαγωγοὺς καὶ διδασκάλους, ἵνα διὰ τούτων ἐπιδεικνύωνται οἱ γονεῖς, καὶ οὐχὶ πρὸς ἀνατροφὴν καὶ ἐκπαίδευσιν τῶν τέκνων ἀληθῆ, οὕτω καὶ σήμερον ἐγχειρίζουσι παιδαγωγοῖς καὶ διδασκάλοις ξένοις καὶ ἀδοκίμοις, ὡς μὴ ὤφειλε, τὴν διαπαιδαγώγησιν τῶν παίδων, ἀρκοῦν νομίζοντες, ὅτι οὗτοι μανθάνουσι ξένην τινὰ γλῶσσαν ψελλίζειν καὶ τὴν ἐθιμοταξίαν [Mode] τηρεῖν. Ἀλλ᾽ ἅλις τούτων· νῦν δ᾽ ἴωμεν καταγράψοντες διὰ βραχέων τὰ ἐπιχειρήματα, ὅσα Κοϊντυλιανὸς προβάλλει πρὸς ὑποστήριξιν τῆς αὐτοῦ γνώμης. «Οἱ μέγιστοι, λέγει[1], τῶν νομοθετῶν καὶ οἱ διασημότατοι τῶν συγγραφέων προτιμῶσι τὴν δημοσίαν ἐκπαίδευσιν τῆς κατ᾽ οἶκον γενομένης. Οἱ ἐναντιογνωμοῦντες δύο τινὰ λέγουσι· πρῶτον, ὅτι τὰ ἤθη τοῦ παιδὸς κινδυνεύει διαφθαρῆναι, ἀναστρεφομένου μεθ᾽ ὁμίλου παίδων ἐπιρρεπῶν ἕνεκα τῆς ἡλικίας πρὸς τὴν κακίαν, ὡς τῆς ἐπιμιξίας οὔσης πηγῆς συνεχοῦς ἀπομιμήσεως τῶν κακῶν·

[1] Quintil. I, II μέχρι τέλους.

καὶ δεύτερον, ὅτι ἡ ἐν τοῖς σχολείοις πρόοδός ἐστὶ μικρὰ παραβαλλομένη πρὸς τὴν κατ᾽ οἶκον, ὡς τοῦ οἰκοδιδασκάλου ἕνα μόνον διδάσκοντος, ἔχοντος πλείω χρόνον εἰς τὸ διδάσκειν, ἢ τοῦ δημοσίᾳ διδάσκοντος, ὅστις διανέμει τοῦτον πλείστοις μαθηταῖς. « Πιστεύουσι, λέγει Κοϊντυλιανὸς, ὅτι τὰ ἤθη φθείρεται ἐν τοῖς σχολείοις· συμβαίνει γὰρ τοῦτο ἐσθ᾽ ὅτε, ἀλλὰ καὶ οἴκοι ὡσαύτως· ὁ παῖς δ᾽ ἐκεῖνος διαφθείρεται, ὅστις ἤδη διέφθαρται ἐν τῇ πατρικῇ οἰκίᾳ. Ἡ φύσις καὶ ἡ ἀνατροφὴ ἔχουσι μεγίστην ῥοπὴν ἐπὶ τὰ ἤθη. Εἰ γὰρ ἡ φύσις τοῦ παιδὸς τυγχάνει οὖσα ἀγαθὴ, καὶ ἡ κατ᾽ οἶκον παρεχομένη ἀγωγὴ χρηστή, οὐδεὶς φόβος, μὴ οὗτος διαφθαρῇ ἐν τοῖς σχολείοις. Ὁ παῖς διαφθείρεται ἐν τῇ πατρικῇ οἰκίᾳ εἴτε ἐκ ῥᾳθυμίας τῶν γονέων, εἴτε ἐκ τῶν κακῶν τοῦ παιδαγωγοῦ ἠθῶν· ὁ παῖς διαφθείρεται μᾶλλον μετὰ δούλων ἀναστρεφόμενος, ἢ μετὰ παίδων ὁμηλίκων, ἐχόντων τὰ ἤθη πολλῷ ἐκείνων σεμνότερα[1]. Φέρεται παῖς πρὸς τὸ κακόν; ἐπιμεληθήτωσαν οἱ γονεῖς τῶν ἠθῶν αὐτοῦ καὶ ἐπαγρυπνείτωσαν ταῖς πράξεσιν ἐξ ἁπαλῶν ἔτι ὀνύχων, ἄλλως καὶ ἡ αὐστηροτέρα ἀπομόνωσις κατ᾽ οὐ-

[1] Καὶ καθόλου μὲν [εἰ ἔξεστιν ἡμῖν γνώμην εἰπεῖν] ἀνάγκη τὸ παιδίον μετὰ ὁμηλίκων τὴν παιδικὴν ἡλικίαν διελθεῖν, ὅπως δυνηθῇ ὕστερον ἀνδρωθὲν μετὰ τῶν ἀνθρώπων βιῶσαι. Ὁ παῖς ὁ ζῶν ἐγκατακεκλεισμένος μετὰ τῶν γονέων, τῶν ὑπηρετῶν καὶ τοῦ οἰκοδιδασκάλου, καθίσταται ἀνεπίδεκτος πρὸς κοινωνικὸν βίον καὶ ἀδαὴς τῶν τοῦ κόσμου πραγμάτων. Ζῇ ἀθέατος καὶ ἀνήκοος τῶν καλῶν καὶ κακῶν τοῦ κοινωνικοῦ βίου καὶ ἀπόλλυσι τὴν ἀναγκαίαν ἕξιν τοῦ παιδαγωγεῖν αὐτὸς ἑαυτὸν κατὰ τὸν λοιπὸν τῆς ζωῆς χρόνον. Ταῦτα καὶ Κ. δογματίζει πρὸς τὸ ἔργον τοῦ ῥήτορος ἀφορῶν [αὐτόθ. 17—21] καὶ τὴν πρὸς κοινωνίαν φυσικὴν ῥοπὴν τοῦ ἀνθρώπου.

δὲν αὐτῷ ὠφελήσει. Γονεῖς δὲ φιλόστοργοι καὶ σοφοὶ δύνανται προσλαβεῖν καὶ διδάσκαλον χρηστὸν, ἐπιμελῆ, ἐκ τῆς σοφίας τὴν ἀξίαν αὐτοῦ ἔχοντα, καὶ ἀποδεδειγμένης πίστεως, δυνάμενον ἐμπνεῖν σέβας καὶ ἐκείνοις, ὧν ἡ συντροφία ἐστὶν ὕποπτος». Λόγον δὲ περὶ τῶν γονέων ποιούμενος, λέγει ὁ Ῥωμαῖος παιδαγωγὸς ταῦτα ἀναγραφῆς δήπου ἄξια καὶ τὸν οἰκιακὸν τῶν συγχρόνων βίον ἀπεικονίζοντα. «Εὔκολον ἦν ἂν τὸ φάρμακον τούτου τοῦ φόβου, εἰ μὴ ἡμεῖς αὐτοὶ τῆς τῶν τέκνων διαφθορᾶς αἴτιοι ἐγινόμεθα. Διαφθείρομεν γὰρ τὰ τέκνα ἀπὸ τῆς τρυφερωτάτης ἡλικίας διὰ παντοδαπῆς τρυφῆς. Ἡ μεμαλακισμένη ἀνατροφὴ, ἣν καλοῦμεν π ρ ᾳ ό τ η τ α, ἐκνευρίζει πνεῦμα καὶ σῶμα. Τίνων δὲ οὐκ ἐπιθυμήσουσιν οἱ παῖδες, προϊόντος τοῦ χρόνου, οἵτινες ἀπὸ τῆς τρυφερωτάτης ἡλικίας εἰώθασιν ἐπὶ πορφυροβάπτων ταπήτων σύρεσθαι; Μόλις δύνανται τὰς πρώτας τῶν λέξεων ψελλίζειν καὶ ὅμως ἔχουσι πεῖραν παντὸς ὀρεκτικοῦ καὶ ἐκλεκτοῦ. Μορφοῦμεν τὸν οὐρανίσκον τῶν παίδων, πρὶν ἢ διδάξωμεν αὐτοὺς λαλεῖν. Αὐξάνουσι δὲ οἱ παῖδες ἡμῶν ἐπὶ τῆς κλίνης, ἐὰν δὲ θῶσι τὸν πόδα ἐπὶ τοῦ ἐδάφους, ἕτοιμοι οἱ βαστάζοντες αὐτοὺς ἐπὶ τῶν βραχιόνων καὶ μαλθακῶς αἰωροῦντες. *Εὐφρόσυνον ἡμῖν ἐστιν, ἄν τι ἀκόλαστον οἱ παῖδες λέγωσι· λόγους, οὓς αἰσχυνόμεθα καὶ παρὰ τῶν ἀκολαστοτέρων ἀκούοντες, παρὰ τῶν παίδων γελῶντες καὶ τερπόμενοι ἀκροώμεθα. Οὐδὲν δὲ τούτων θαυμαστόν· ἡμεῖς γὰρ διδάσκομεν τοὺς παῖδας οὕτω πράττειν; παρ' ἡμῶν αὐτῶν οὗτοι ταῦτα ἀκούουσιν. Εἰσὶ γὰρ οὗτοι μάρτυρες τῶν ἡμετέρων παθῶν καὶ τῶν ἐγκληματικωτέρων ἡδονῶν· τὰ ἡμέ-*

τερα συμπόσια ἀντηχεῖ τοῖς ἀνοσίοις ᾄσμασι καὶ πρόκειται φανερὰ ὅσα καὶ λέγειν αἰσχρόν. Γίνεται δ' ὕστερον τούτοις ἡ ἕξις φύσις. Οἱ δυστυχεῖς παῖδες μανθάνουσι ταῦτα, πρὶν ἢ γνωρίσωσιν, ὅτι εἰσὶν κακίαι. Οὕτω τοίνυν ἀναπνέοντες τρυφὴν καὶ μαλακίαν, ἐκνενευρισμένοι τὸ σῶμα καὶ τὸ πνεῦμα, κομίζουσι μεθ' ἑαυτῶν τὴν διαφθορὰν εἰς τὰ σχολεῖα, καὶ οὐκ ἐν αὐτοῖς ταύτην μανθάνουσι.»

§ 35. Τὸν δεύτερον δὲ λόγον, τουτέστιν, «ὅτι ἡ ἐν τοῖς σχολείοις πρόοδός ἐστι μικρὰ παραβαλλομένη πρὸς τὴν κατ' οἶκον», ἀποκρούει Κοϊντυλιανὸς διὰ τούτων· «Πρῶτον τί ἐμποδίζει τὸν διδάσκαλον, ὃν θέλουσιν οἶκοι ἔχειν, παρακολουθεῖν τῷ εἰς τὰ διδασκαλεῖα φοιτῶντι παιδί; Ἀλλ' ἐὰν οἱ γονεῖς οὐ δύνανται ἀμφότερα πράττειν, προαιροῦμαι μᾶλλον τὸ φῶς τιμίας καὶ πολυαρίθμου ὁμηγύρεως, ἢ τὸ σκότος καὶ τὴν ἐρημίαν τοῦ οἴκου. Πᾶς ἄριστος διδάσκαλος χαίρει ἐπὶ πυκνῷ ἀκροατηρίῳ καὶ ἡγεῖται ἑαυτὸν ἄξιον μεγάλου θεάτρου. Τὸ ἔργον δὲ τοῦ οἰκοδιδασκάλου ἐπαγγέλλονται συνήθως οἱ μὴ ἐν πολλοῖς ἐπιτήδειοι καὶ συνειδότες ἑαυτοῖς μικρῶν ὄντες ἄξιοι. Ἀλλ' ἔστω· εὑρίσκουσιν σπουδαῖον καὶ σοφὸν οἰκοδιδάσκαλον· ἀλλὰ δύναται οὗτος μὲν ὅλην τὴν ἡμέραν παρὰ τῷ παιδὶ μένειν, ὁ δὲ παῖς ἀδιαλείπτως ἐργάζεσθαι;[1] Παρὰ ταῦτα δὲ σπουδαῖον μέρος ἀποτελεῖ καὶ ἡ κατ' ἰδίαν τοῦ μαθητοῦ ἐργασία. Ἀνάγκη γὰρ τοῦτον ἰδίᾳ ἀναγινώσκειν καὶ γράφειν καὶ σκέ-

[1] « Le respectable état, λέγει ὁ Ῥουσσώ, du precepteur exige tant de talents qu'on ne saurait payer, tant de vertus, qui ne sont point à prix, qu'il est inutile d'en chercher un avec de l'argent. » (La nouvelle Heloise, 4e partie, lettre XIV).

πτεσθαι· καὶ πρὸς τὸ πράττειν ταῦτα οὐ χρήζει διδασκάλου, ἀλλὰ μάλιστα ταράσσεται καὶ διακόπτεται ἄλλου παρόντος. Ἡ κατ' ἰδίαν δὲ τοῦ μαθητοῦ ἐνασχόλησίς ἐστι λίαν ὠφέλιμος, διότι ἐν ταύτῃ ἀναγινώσκει τοὺς συγγραφεῖς. Προσδιορίζων δ' ὁ διδάσκαλος καὶ διαγράφων τὰς κατ' οἶκον τῆς ἡμέρας ἐργασίας, δύναται οὐ μόνον ἕνα, ἀλλὰ πολλοὺς σύναμα παιδεύειν καὶ διδάσκειν. Μία καὶ μόνη φωνὴ ἀφικνεῖται πρὸς πλείστους σύναμα, διότι τοιαύτη ἡ φύσις πολλῶν μαθημάτων... Ἡ διδασκαλία οὐκ ἔστι ἔδεσμα, ὅπερ ἐλαττοῦται πολλοῖς διανεμόμενον, ἀλλ' ἔοικε τῷ ἡλίῳ, ὃς ἐπιχεῖ τὴν θερμότητα πανταχόσε δι' ἀπλέτου φωτός. Γραμματικὸς εἴτε περὶ γλώσσης πραγματεύεται, εἴτε ζήτημα διαλευκαίνει, εἴτε ποιητὴν ἢ ἱστορικὸν ἑρμηνεύει, ὠφελεῖ πᾶσι τοῖς ἀκούουσιν. Ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι εἷς διδάσκαλος οὐ δύναται πολλοὺς παῖδας διορθοῦν καὶ ἀκροᾶσθαι, ἀλλ' ὅμως τοῦτο παραβαλλόμενον πρὸς τὰς ἄλλας ὠφελείας τῆς δημοσίας διδασκαλίας μεγάλως ὑστερεῖ. Καὶ πρῶτον μὲν παραινῶ τοῖς γονεῦσι μὴ πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς σχολεῖον ἔνθα παραμεληθήσονται· ἔπειτα δὲ δεῖ τὸν εὐσυνείδητον διδάσκαλον μὴ ἐπιφορτίζεσθαι πλείους μαθητάς, ἢ ὅσους δύναται ἐπιτηρεῖν καὶ διδάσκειν· καὶ τοῦτον δὲ τὸν διδάσκαλον ὀφείλομεν κατὰ πάντα τρόπον φίλον ποιήσασθαι, ἵνα ἐν τῷ διδάσκειν ἄγηται οὗτος οὐ μόνον ὑπὸ τοῦ καθήκοντος, ἀλλὰ καὶ ὑπὸ τῆς εὐνοίας.[1]

[1] Τὸν σοφὸν διδάσκαλον οὐ δεῖ ἄγεσθαι ὑπὸ τῆς ἐξαιρετικῆς εὐνοίας, πολλὰ γὰρ οὐκ εὐσχήμονα ἐκ τούτου συμβαίνει· τὴν εὔνοιαν

Τούτων δ' οὕτως ἐχόντων, οὐκ ἀμεληθήσεται ὁ παῖς ἐν τῇ πληθύϊ τῶν μαθητῶν. Πρὸς δὲ τούτοις ἐπιμελὴς καὶ πνευματώδης παῖς οὐδεὶς φόβος μὴ περιοφθῇ, τοῦ διδασκάλου προσέχοντος τὸν νοῦν καὶ ἐπιμελουμένου ἐκείνου τῶν διδασκομένων μάλιστα, οὗτινος ἡ φανερὰ ἐν τοῖς μαθήμασι πρόοδος καὶ ἑαυτῷ ἔπαινον καὶ δόξαν περιάψει.[1] Ἐκ τοῦ ἀποφεύγειν δὲ τὰ πολυπληθέστερα σχολεῖα [ὅπερ ἡγοῦμαι οὐκ ὀρθόν, διότι ὅπου σοφοὶ διδάσκαλοι, ἐκεῖσε καὶ πλεῖστοι συρρέουσιν], οὐχ ἕπεται ἅπαντα καθόλου ἀποφεύγειν· ἄλλο γάρ ἐστι τὸ ἀποφεύγειν τὰ σχολεῖα, καὶ ἄλλο τὸ ἐκλέγειν.»

§ 36. Τὸ ζήτημα, «εἰ διδακτέος ἕκαστος κατὰ τὴν φύσιν τοῦ πνεύματος» οὐ διέφυγε τὴν προσοχὴν τοῦ τὸν βίον ἅπαντα διανύσαντος πρὸς ἀγωγὴν τῶν παίδων Κοϊντυλιανοῦ. Καὶ γὰρ ἀποδεχόμενος, ὅτι οἱ ἄνθρωποι ὡς κατὰ τὸ σῶμα, οὕτω καὶ κατὰ τὸν νοῦν ἐκ φύσεως ἀνόμοιοί εἰσιν, παραινεῖ τῷ τῆς ῥητορικῆς διδασκάλῳ ἐξετάζειν τὸ πνεῦμα τοῦ παιδὸς καὶ τελειο-

δεῖ εἶναι ἴσην καὶ τοῖς φίλοις καὶ τοῖς δυσμενέσι, καὶ τοῖς πλουσίοις καὶ τοῖς πτωχοῖς· ἀγάπη κοινὴ καὶ ἴση πρὸς πάντας καὶ πιστὴ τοῦ καθήκοντος ἐκπλήρωσις, ταῦτα πάντα συγκροτεῖ τὸν ὄντως ἐνάρετον διδάσκαλον· Τοῦτο καὶ Κοϊντυλιανὸς φρονεῖ, παραινῶν τοῖς διδασκάλοις ἔχειν πρὸς τοὺς μαθητὰς αἰσθήματα πατρὸς πρὸς τέκνα· «ante omnia parentis (magister) erga discipulos suos animum, ac succedere se in eorum locum, a quibus sibi liberi tractantur, existimet.»

[1] Τοῦτο, ὡς μὴ ὤφειλε, τοῖς πλείστοις τῶν διδασκάλων συμβαίνει, ὅπερ ἀδικώτατον. Ἐγκαταλείποντες γὰρ οὗτοι, ἢ παραμελοῦντες τῶν τῆς φύσεως ἐνδεῶς ἐχόντων μαθητῶν, προκολλῶνται τοῖς εὐφυέσιν, οἵτινες καὶ ἄνευ ἰδιαιτέρας εὐνοίας προαχθῆναι δύνανται.

ποιεῖν αὐτὸ διὰ τῆς διδασκαλίας. « Εἴθισται, λέγει, οὐκ ἀπεικότως ἴδιον διδασκάλου ἀξίου ἡγεῖσθαι τὸ τὰς διαφορὰς τοῦ πνεύματος τῶν μαθητῶν ἐπιμελῶς παρατηρεῖν καὶ διακρίνειν πρὸς τί ἕκαστον τούτων ἡ φύσις ὁδηγεῖ. Ἔστι γὰρ ἡ ἐν τούτῳ ποικιλία ἀπίστευτος καὶ ἡ διαφορὰ τῶν ψυχῶν οὐκ ἐλάττων τῆς τῶν σωμάτων. Τοῦτο δὲ νοηθῆναι δύναται καὶ ἐξ αὐτῶν τῶν ῥητόρων, οἵτινες τοσοῦτον ἀλλήλων διαφέρουσι κατὰ τὸ γένος τοῦ λέγειν, ὥστε οὐδεὶς ἑτέρῳ ὅμοιος, εἰ καὶ οἱ πλεῖστοι τούτων διεμορφώθησαν κατὰ μίμησιν ἐκείνων, οὓς διαφερόντως ἠγάπησαν. Ὅθεν χρήσιμον πλείστοις ἐφάνη ἐκπαιδεύειν ἕκαστον οὕτως, ὥστε ἐνισχύειν τὴν ἀνάπτυξιν τῶν ἀγαθῶν αὐτοῦ φυσικῶν διαθέσεων καὶ βοηθεῖν τῷ πνεύματι, πρὸς ὅ,τι ἐπιρρεπῶς τοῦτο ἔχει.[1] Ὡς δὲ ὁ τῆς παλαίστρας ἔμπειρος, εἰς γυμνάσιον πλῆρες παίδων εἰσελθὼν καὶ παντὶ τρόπῳ τὸ πνεῦμα τούτων καὶ τὴν τόλμην δοκιμάσας, διακρίνει, πρὸς ποῖον ἀγῶνα παρασκευαστέος ἕκαστος, οὕτω καὶ ὁ τῆς ῥητορικῆς διδάσκαλος ἐξετάσας μετὰ προσοχῆς τίνι γένει τοῦ λόγου τὸ πνεῦμα ἑκάστου ἥδεται, περὶ τοῦτο ἰδίᾳ ἐνδιατρίβει καὶ τοῦτο ἀναπτύξαι καὶ τελειοποιῆσαι ἐπιχειρεῖ. Ἡ μὲν γὰρ φύσις ἐπὶ μᾶλλον προκόπτει βοηθουμένη καὶ ὑποστηριζομένη, τὸ δὲ πνεῦμα ἐπὶ πολλὰ καὶ διάφορα τερπόμενον, ἢ οὐκ ἀσκεῖται ἱκανῶς ἐν οἷς ἧττον ἐπι-

1 Οὕτω καὶ Πυθαγόρας ἐφυσιογνώμει τοὺς νεωστὶ προσερχομένους τῶν μαθητῶν, πρὶν ἢ ποιήσηται ἀπόφασιν ὁριστικὴν περὶ παραδοχῆς αὐτῶν (παρὰ Γελίῳ Ν. Α. I, 9). «Jam a principio adulescentes, qui sese ad dicendum optulerant, ἐφυσιογνώμει» κτλ.

τήδειον τυγχάνει, ἢ οὐκ ἀναπτύσσεται τελείως ἐν οἷς ὑπὸ τῆς φύσεως ὡρίσθη.» Καὶ ταῦτα μὲν τὰ γενικὰ ἀξιώματα οὐχ ὅλως τῷ Κοϊντυλιανῷ συνδοκεῖ. Φρονεῖ μὲν γὰρ ἀναγκαῖον ἐξετάζειν τὸν διδάσκαλον καλῶς πρὸς τί ἕκαστος φύσει ἐπιρρεπῶς ἔχει, καὶ τοῦτο διὰ τῶν σπουδῶν ἐνισχύειν, ἀλλὰ μὴ ἐᾶν καὶ τὰς ἀτελείας τοῦ πνεύματος ἀδιαπλάστους· ἔστι γὰρ ὁ μὲν τῇ ἱστορίᾳ μᾶλλον ἐπιτήδειος, ὁ δὲ τῇ ποιήσει, ὁ δὲ τῇ τοῦ δικαίου σπουδῇ, καὶ ἄλλοι πρὸς τὸ γεωργεῖν τοὺς ἀγροὺς μόνον ἄξιοι, καθὼς ἐκεῖνος μὲν πρὸς δρόμον, οὗτος δὲ πρὸς πάλην, καὶ ἄλλος πρὸς πυγμὴν ἢ ἕτερον τῆς γυμναστικῆς εἶδος· ἀλλὰ τοιαύτη μονομερὴς τοῦ πνεύματος ἄσκησις οὐκ ἐξαρκεῖ τῷ τελείῳ ῥήτορι· δεῖ γὰρ τοῦτον μὴ περὶ ἓν μόνον τῆς ῥητορικῆς γένος ἐνασχολεῖσθαι, ἀλλὰ περὶ πάντα καὶ δὴ περὶ τὰ ἐπιπονώτερα. Κοϊντυλιανὸς φρονεῖ, ὅτι τὸν ἱκανὸν τῆς ῥητορικῆς διδάσκαλον δεῖ περὶ τὰ δύο ταῦτα ἐνασχολεῖσθαι, περὶ τὴν ἀνάπτυξιν δηλαδὴ τῶν ἀρετῶν καὶ τὴν συμπλήρωσιν τῶν ἐλλείψεων τῆς φύσεως. « Ἀλλ' ἡ μονομερὴς αὕτη τοῦ πνεύματος ἄσκησις, λέγει ὁ Ῥωμαῖος παιδαγωγὸς, οὐκ ἐξαρκεῖ ῥήτορα τέλειον παρασκευάσαι· μόνη γὰρ ἡ πρὸς πάντα τὰ εἴδη τῆς ῥητορικῆς ἄσκησις δύναται καταστῆσαί τινα ἱκανὸν ῥήτορα, ὅπερ κατορθοῦται διὰ γενικῆς τινος παιδεύσεως. Οὐ δεῖ τὴν φυσικὴν μόνον ἀρετὴν καλλιουργεῖν, ἀλλὰ καὶ τὰ ἐλλείποντα τῆς φύσεως συμπληροῦν. Τὸν ἱκανὸν διδάσκαλον προσήκει ἀποκόπτειν μὲν τὰ κακά, συμπληροῦν δὲ τὰ μετὰ φειδοῦς δοθέντα καὶ προστιθέναι.[1] Ἰσοκράτης λέγων

[1] Τοιαύτην τινὰ γνώμην εἶχε καὶ Πλάτων περὶ τῆς δυνάμεως

περί τε τοῦ Ἐφόρου καὶ τοῦ Θεοπόμπου, ὅτι ὁ μὲν δεῖται μάστιγος, ὁ δὲ χαλινοῦ, αἰνίττεται βεβαίως τὴν διόρθωσιν τῆς βραδυτῆτος ἐκείνου καὶ τῆς ὁρμῆς τούτου διὰ τῆς ἀναμίξεως ἀμφοτέρων.[1] Τὸ μὲν καθόλου περιωρισμένον πνεῦμα χρήζει περιποιήσεως καὶ οὐχὶ βίας ἀνωφελοῦς, τὸ εὐρὺ ὅμως ἀπαιτεῖ εὐρεῖαν ἀνάπτυξιν. Καὶ ἄν τις ἐπιρρέπῃ εἴδει τινὶ τῆς ῥητορικῆς, οὐδὲν ἐμποδίζει, ἵνα πρὸς πάντα ἐπιδοθῇ καὶ διὰ τῆς ἐπιμελείας προσλάβῃ καὶ τὰ μὴ παρὰ τῆς φύσεως αὐτῷ χορηγηθέντα.»

§ 37. Τὰ ἤθη τοῦ σοφοῦ καὶ ἀγαθοῦ διδασκάλου ὁρίζεται ὑπὸ τοῦ Κοϊντυλιανοῦ μετὰ πολλῆς ἀκριβείας, καὶ τὰ καθήκοντα τούτου μετὰ πολλῆς σκέψεως καὶ πρακτικῆς ὠφελείας διαγράφεται. Βούλε-

τῆς παιδείας καθόλου. «Τροφὴ γάρ, λέγει, καὶ παίδευσις χρηστὴ σωζομένη φύσεις ἀγαθὰς ἐμποιεῖ, καὶ αὖ φύσεις χρησταὶ τοιαύτης παιδείας ἀντιλαμβανόμεναι ἔτι βελτίους τῶν προτέρων φύονται (περὶ πολιτ. IV, σελ. 4 24, B)»· οὕτω δὲ καὶ Ἀριστοτέλης ἐφρόνει. «Δεῖ δὲ τῇ διαιρέσει τῆς φύσεως ἐπακολουθεῖν, πᾶσα γὰρ τέχνη καὶ παιδεία τὸ προσλεῖπον βούλεται τῆς φύσεως ἀναπληροῦν (Πολιτ. H, 1337, ά, 1—3).» Πλούταρχος δὲ ἐξελέγχων τοὺς φρονοῦντας, ὅτι οὐ δύνανται οἱ οὐκ εὖ πεφυκότες διὰ μαθήσεως καὶ μελέτης ὀρθῆς ὑπερνικῆσαι τὴν ἐλάττωσιν τῆς φύσεως, ἐπιφέρει τάδε μνήμης ὄντως ἄξια. «Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥαθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδαχή . . .» (Περὶ παίδ. ἀγωγ. IV).

1 «Ὅτι ἔχω τινὰς δύο μαθητάς, ὧν ὁ μὲν δεῖται μάστιγος, ὁ δὲ χαλινοῦ· μάστιγος μὲν λέγω περὶ τοῦ Ἐφόρου, διὰ τὸ νωθὲς καὶ βαρὺ τῆς φύσεως, χαλινοῦ δὲ διὰ τοῦ Θεοπόμπου πολύ τε καὶ ἀκρατὲς τῆς γλώσσης.» (Orat. Attic. edd. B. S. τομ. II, σελ 4 ἔν τινι τῶν μαθητῶν τοῦ Ἰσοκράτους ἀπαριθμήσει)· πρβλ. καὶ Σουΐδαν ἐν λέξει Ἔφορος. Τούτου τοῦ Ἰσοκρατείου ἀποφθέγματος μνημονεύουσι πολλοὶ τῶν Ῥωμαίων. (Cic. ad Attic. VI, 1, 9—de Orat. III, 9, 35—Brut. 56, 204—Senec. de ira II, 21, 3).

ται γὰρ τὸν διδάσκαλον εἶναι συνετόν, σεβαστὸν καὶ ἀρχικὸν καὶ ἀγαπᾶν τοὺς μαθητὰς αὐτοῦ. Ἐκ τῆς ἀγάπης μάλιστα, ὡσεὶ ἀληθὴς οὕτως εἰπεῖν χριστιανός, ἐξαρτᾷ τὰ ὑψηλὰ καὶ σπουδαῖα καθήκοντα. Διὰ τοῦτο καὶ μέχρι σήμερον οἱ περὶ τὴν παιδαγωγίαν διατρίβοντες χρῶνται τοῖς λόγοις τοῦ Ῥωμαίου παιδαγωγοῦ ἐν τῇ διαγραφῇ τῶν τοῦ διδασκάλου καθηκόντων, καὶ ὡς κανόνας αὐτοὺς ἡγοῦνται ἀναγκαίους καὶ οὐσιώδεις καὶ ἐφαρμογῆς ἀξίους. «Γενομένου, λέγει, τοῦ παιδὸς ἱκανοῦ πρὸς τὸ δύνασθαι καλῶς ἐννοεῖν ἃ εἴπομεν εἶναι τὰ πρῶτα τῆς ῥητορικῆς παραγγέλματα, δεῖ τοὺς γονεῖς τοῖς τῆς τέχνης ταύτης διδασκάλοις παραδοῦναι αὐτόν. Τῶν διδασκάλων δὲ τὰ ἤθη ἐξετασθῆναι πρῶτον δεήσει.[1] Τότε δὲ μᾶλλον φροντιστέον, ὅπως ἡ τοῦ διδασκάλου ἁ γ ν ό τ η ς

[1] «Διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι καὶ ταῖς ἐμπειρίαις ἄριστοι κτλ.» [Πλουτάρχ. π. παίδ. ἀγωγ. VII]. Παραθέσεως δ' ἄξιά ἐστι καὶ τὰ Πλάτωνος [περὶ Νόμ. V. σελ. 729, C.]. «Παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐτῶν οὐ τὸ νουθετεῖν, ἀλλ' ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φ α ί ν ε σ θ α ι τ α ῦ τ α α ὐ τ ὸ ν δ ρ ῶ ν τ α δ ι ὰ β ί ο υ». Τοῦτον δὲ τὸν τρόπον ἐδίδασκε τοὺς παῖδας καὶ Σωκράτης ἑαυτὸν πρὸς μίμησιν προβάλλων «τ ῷ φ α ν ε ρ ὸ ς ε ἶ ν α ι τ ο ι ο ῦ τ ο ς ὢ ν [Σωκράτης] ἐ λ π ί ζ ε ι ν ἐ π ο ί ε ι τ ο ὺ ς σ υ ν δ ι α τ ρ ί β ο ν τ α ς ἑ α υ τ ῷ μ ι μ ο υ μ έ ν ο υ ς ἐ κ ε ῖ ν ο ν τ ο ι ο ύ σ δ ε γ ε ν ή σ ε σ θ α ι». [Ξενοφ. Ἀπομνημ. I, 2, 3]. Καὶ Πλούταρχος ὅσα περὶ τῶν γονέων λέγει, ταῦτα καὶ τοῖς διδασκάλοις ἁρμόζει [π. παίδων ἀγωγ. XX.] «Πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα, ἃ δεῖ, πράττειν, ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον, ὥσπερ κάτοπτρον ἀποβλέποντες ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων κτλ.»

τοὺς μὲν τὴν ἡλικίαν τρυφερωτέρους διαφυλάττῃ ἀπὸ πάσης ἀδικίας, τοὺς δὲ θρασυτέρους ἡ τούτου αὐστηρότης ἀποτρέπῃ ἀπὸ πάσης διαφθορᾶς. Οὐκ ἐξαρκεῖ δὲ τὸν διδάσκαλον ἐγκρατέστατον εἶναι, εἰ μὴ οὗτος δι' αὐστηρᾶς πειθαρχίας συνέχει καὶ τὰ ἤθη τῶν συνερχομένων. Πάντων δὲ μάλιστα λαμβανέτω ὁ διδάσκαλος αἰσθήματα πατρὸς πρὸς τέκνα, καὶ νομιζέτω, ὅτι κατέχει τὴν θέσιν τῶν τοὺς παῖδας ἑαυτῷ παραδιδόντων. Ἔστω δ' αὐστηρός, ἀλλὰ μὴ σκληρός· γλυκύς, ἀλλὰ μὴ λίαν ἐπεικτικός, ἵνα μὴ μῖσος καὶ καταφρόνησιν εἰς ἑαυτὸν ἐπισπάσηται. Πλεῖστος δ' ἔστω τούτῳ ὁ περὶ τοῦ τιμίου καὶ ἀγαθοῦ λόγος· ὅσῳ γὰρ ἂν συχνότερον συμβουλεύσῃ τοῖς μαθηταῖς τὰ καθήκοντα, τοσούτῳ σπανιώτερον κολάζειν αὐτοὺς ἀναγκασθήσεται. Μηδόλως δ' ὀργιζέσθω, ἀλλὰ καὶ μὴ ἀποκρυπτέτω τὰ τῶν παίδων σφάλματα· ἔστω δ' ἁπλοῦς μὲν ἐν τῷ διδάσκειν καὶ φιλόπονος, ἀκριβὴς δὲ καὶ μὴ λίαν ἀπαιτητικός. Τοῖς ἐρωτῶσιν ἡδέως ἀποκρινέσθω, τοὺς δὲ σιωπῶντας αὐτὸς ἐρωτάτω. Μὴ ἀρνείσθω τὸν προσήκοντα ἔπαινον, ἀλλὰ καὶ μὴ δαψιλῶς τοῦτον παρεχέτω· ἐκεῖνο μὲν γὰρ ἐμποιεῖ τῷ παιδὶ πόνων ἀποστροφήν, τοῦτο δὲ ἀμέλειαν. Ἔστω δὲ μὴ πικρὸς ἐν τῷ παραινεῖν τὰ ἐπανορθωτέα, ἥκιστα δὲ προσβλητικός· οὐδὲν γὰρ ἄλλο ποιεῖ τῶν παίδων πολλοὺς τοσοῦτον τὰς περὶ τὰ γράμματα σπουδὰς ἀποστρέφεσθαι, ἢ ὅσον τὸ αἰσθάνεσθαι τούτους μετὰ μίσους ἐπιπληττομένους. Λεγέτω δὲ τούτοις καθ' ἑκάστην ἡμέραν ὠφέλιμόν τι, ἵνα μεθ' ἑαυτῶν ἀποφέρωσιν. Εἰ καὶ ἡ ἀνάγνωσις παρέ-

χει τοῖς παισὶν ἱκανὰ καλὰ παραδείγματα, τὸ διὰ ζώσης ὅμως φωνῆς ἐπιδρᾷ μᾶλλον ἐπὶ τῶν μαθητῶν, κἂν μάλιστα ταῦτα λέγηται ὑπὸ διδασκάλου, ὃν ἀγαπῶσιν αὐτοὶ καὶ αἰδοῦνται ἐπὶ τῇ ὀρθῶς παρεχομένῃ διδασκαλίᾳ. Μόλις γὰρ ῥηθῆναι δύναται, ὅσον ἥδιον μιμούμεθα, οὓς φιλοῦμεν.»[1]

§ 38. Τὸ ἔθος δὲ τοῦ ἀμοιβαίως θαυμάζεσθαι καὶ ἐπαινεῖσθαι κατακρίνεται σφοδρῶς ὑπὸ τοῦ Κοϊντυλιανοῦ. Προτείνει δὲ ἐκδιωχθῆναι τοῦτο ἐκ τῶν καλῶς συγκεκροτημένων σχολείων, ὡς ἀπόζον θεατρισμοῦ καὶ ὡς λύμη τῶν σπουδῶν. «Πῶς γὰρ ὁ παῖς φιλοτιμηθήσεται ἐργάζεσθαι καὶ πονεῖν, βέβαιος ὤν, ὅτι ἐπαινεθήσεται ἐπὶ παντὶ τῷ λεγομένῳ; Ἐθίζοντες δὲ θαυμάζειν καὶ ἐπαινεῖν ἀλλήλους, βαρέως ὕστερον φέρουσι καὶ ἀσχάλλουσι τῷ μὴ ἐπαινοῦντι διδασκάλῳ. Ἀλλὰ καὶ οἱ διδάσκαλοι θέλουσιν ἀκούεσθαι μετὰ προσοχῆς καὶ σωφρόνως. Δεῖ οὖν τοὺς μαθητὰς ζητεῖν τὴν ἐπιδοκιμασίαν τοῦ διδασκάλου καὶ οὐ τὸν διδάσκαλον τὴν τῶν μαθητῶν».[2]

§. 39. Κοϊντυλιανὸς πολλαχοῦ τῆς συγγραφῆς αὐτοῦ πολυτίμους δίδωσι παραινέσεις τοῖς διδασκάλοις καὶ πολυτρόπως διαγράφει τὰ τούτων καθήκοντα.[3] Διὰ τούτων δὲ βούλεται ἐξᾶραι τὸ ἅγιον καὶ ἱερὸν τοῦ διδασκάλου ἔργον καὶ ἣν ἔχει ὑψίστην ἀξίαν ἐναργῶς δηλῶσαι. Οὕτω τοίνυν καὶ ἀλλαχοῦ τὰ ἑξῆς προστίθησιν ἀναγραφῆς βεβαίως ἄξια. «Τὸν ἱκανὸν, λέγει, διδάσκαλον δεῖ πρῶτον σπουδάσαι καὶ διαγνῶναι τὸ

[1] Quintil. βιβλ. II, 2.
[2] Αὐτόθ. 1—14.
[3] Αὐτόθ. I, 3, 6—8.

πνεῦμα καὶ τὴν φύσιν τοῦ παιδὸς, μετὰ δὲ τοῦτο ἐξετάσαι, ὅπως αὐτῷ χρήσεται. Τῶν παίδων γάρ τινές εἰσι νωθροί, εἰ μή τις αὐτοὺς παρορμᾷ, τινὲς δὲ γίνονται δειλοὶ, εἴ τις ἐπιτάσσει· καί τινας μὲν συνέχει ὁ φόβος, ἄλλους δὲ ἀποθαρρύνει· εἰσὶ δὲ καὶ οὓς διαμορφοῖ κατὰ μικρὸν ἡ συνεχὴς ἐργασία, καὶ παρ' ἄλλοις ἰσχύει πλέον τὸ φιλότιμον καὶ ἐνθουσιαστικόν. Ἐγὼ δὲ βουλοίμην ἂν μᾶλλον διδάσκειν παιδίον, ὃ διεγείρει μὲν ἔπαινος, τέρπει δὲ δόξα, κλαίειν δὲ ἧττα ποιεῖ. Τοιοῦτον παῖδα τρέφει μὲν ἡ φιλοτιμία, ἐξερεθίζει δὲ ἡ ἐπιτίμησις, ἀνορθοῖ δὲ ἡ τιμή. Περὶ τοιούτου παιδὸς οὐδέποτε φοβηθήσομαι, μὴ ἀμελὴς γένηται».[1] Ἐκ τῶν προειρημένων τοίνυν γίνεται δῆλον, ὅτι Κοϊντυλιανὸς παραινεῖ τοῖς διδασκάλοις μὴ ὁμοίως πρὸς πάντας τοὺς μαθητὰς συμπεριφέρεσθαι, ἀλλὰ πρὸς τὴν φύσιν τούτων ἀποβλέποντας, κατὰ ταύτην καὶ τὸν νοῦν δοκιμάζειν καὶ τὴν καρδίαν ῥυθμίζειν. Ἀλλαχοῦ δὲ πάλιν φοβούμενος περὶ τῶν ἠθῶν, παραινεῖ τοῖς διδασκάλοις προσέχειν,

[1] Πλούταρχος δ' ἐπεκτείνων τὸν κύκλον τῶν τοῦ πατρὸς καθηκόντων, ἀπαριθμεῖ πολλὰ καὶ ποικίλα πρὸς διαμόρφωσιν τῶν παίδων. «Δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας παρὰ τοῦτον μάλιστα τὸν καιρὸν φυλάττειν, ἐγρηγορέναι, σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας, δεομένους, συμβουλεύοντας, ὑπισχνουμένους, παραδείγματα δεικνύντας, τῶν μὲν διὰ φιληδονίαν συμφοραῖς περιπεσόντων, διὰ δὲ καρτερίαν ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. Δύο γὰρ ταῦτα ὡσπερεὶ στοιχεῖα τῆς ἀρετῆς εἰσίν, ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας· ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ἡ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται.» [περὶ παίδ. ἀγωγ. XVI]. Ὑπὸ τοιαύτην ἔννοιαν καὶ Ἰσοκράτης ἔλεγε τοὺς εὐφυεῖς τῶν μαθητῶν «παῖδας θεῶν».

ὅπως μὴ οἱ μικροὶ τὴν ἡλικίαν κάθωνται ἀναμὶξ μετὰ τῶν νέων, ὡς τῆς ἀδυναμίας τούτων τῇ ἀνοησίᾳ ἐκείνων ἐκτεθειμένης. Οὐ μόνον δὲ τὸν διδάσκαλον προσήκει ἁγνὸν εἶναι, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐν ἁγνείᾳ καὶ καθαρότητι διατηρεῖν. Ὅσῳ ἂν ᾖ ὁ διδάσκαλος ἱκανὸς συνέχειν καὶ συγκρατεῖν τοὺς ἀκολάστως ἔχοντας, τόσῳ προσήκει αὐτὸν τοῖς καταλλήλοις χρῆσθαι τρόποις καὶ προλαμβάνειν τὰς ἀσχημίας.[1]

§. 40. Κοϊντυλιανὸς τὰ τῶν διδασκάλων καθήκοντα ἐν πολλοῖς διαγράψας, βραχέα τινά, ἀλλὰ νοῦ μεστά, καὶ περὶ τῶν καθηκόντων τῶν μαθητῶν πρὸς τοὺς διδασκάλους προστίθησιν. Ὡς πρῶτον δὲ τῶν μαθητῶν καθῆκον νομίζει τὴν πρὸς τοὺς διδασκάλους ἀγάπην· «Ἀγαπᾶτε, λέγει, τοὺς διδασκάλους τοσοῦτον, ὅσον καὶ τὰς ἐπιστήμας.»[2] Οὐ μόνον δὲ ἀγαπᾶν παραινεῖ, ἀλλὰ καὶ σέβεσθαι καὶ ἐν τάξει γονέων ἔχειν. «Ὡς σέβεσθε, λέγει, τοὺς γονεῖς, ἅτε τοῦ ζῆν αἰτίους ὄντας, οὕτω καὶ τοὺς διδασκάλους, ἅτε τὸν πνευματικὸν παρεχομένους βίον»[3] Ἀπαριθμῶν δὲ τὰ ἐκ τῆς ἀγάπης καὶ τοῦ σε-

[1] Quintil. II, 2, 14 . . . .

[2] Αὐτόθ. II, 9, de officio discipulorum.

[3] Τοῦτο τὸ περιλάλητον οἱ μὲν ἀναφέρουσιν εἰς Ἰσοκράτην, οἱ δὲ εἰς Ἀλέξανδρον τὸν μέγαν, ἦν δ' ὅμως, κατ' ἐμέ, κοινὸν τῶν πεπαιδευμένων ἀξίωμα. «Ἰσοκράτης ὁ ῥήτωρ παρῄνει τοῖς γνωρίμοις προτιμᾶν τῶν γονέων τοὺς διδασκάλους, ὅτι οἱ μὲν τοῦ ζῆν μόνον, οἱ δὲ διδάσκαλοι καὶ τοῦ καλῶς ζῆν αἴτιοι γεγόνασι». Καὶ καθόλου μὲν εἰπεῖν οἱ Ἕλληνες ἠγάπων καὶ ἐσέβοντο τοὺς διδασκάλους. Διηγοῦνται γὰρ περὶ τοῦ Ἰσοκράτους, ὅτι ἠβούλετο μετασχεῖν τοῦ θανάτου τοῦ Σωκράτους, ὥσπερ καὶ ἐν τῷ θανάτῳ

βασμοῦ προερχόμενα ἀγαθά, λέγει τὰ ἑξῆς χρυσᾶ λόγια. «*Τὸ σέβεσθαι τοὺς διδασκάλους οὐκ ὀλίγον συντελεῖ πρὸς προκοπὴν τῶν μαθητῶν. Τιμῶντες γὰρ καὶ σεβόμενοι τοὺς διδασκάλους, ἡδέως τούτων ἀκούσονται, καὶ τοῖς λόγοις αὐτῶν πιστεύσουσι, καὶ τούτοις ὅμοιοι γενέσθαι ἐπιθυμήσουσιν· ἄσμενοι δὲ καὶ φαιδροὶ πρὸς ἀκρόασιν τῶν μαθημάτων προσέρχονται, παραινούμενοι οὐκ ὀργίζονται, ἐπαινούμενοι χαίρουσι καὶ διὰ τῆς ἐπιμελείας τῆς εὐνοίας τούτων τύχειν ζητοῦσιν. Ὡς γὰρ καθῆκον ἐκείνων τὸ διδάσκειν, οὕτω καὶ τούτων πειθηνίους καὶ εὐμαθεῖς εἶναι· οὐδὲν γὰρ δύναται τοῦτο ἄνευ ἐκείνου. Ὡς δὲ ἡ τοῦ ἀνθρώπου γένεσις ἔργον ἐστὶ τοῦ πατρὸς καὶ τῆς μητρός, μάτην δὲ σπείρει τις εἰς τὴν γῆν, ἂν μὴ αὕτη πρότερον ἁπάσας τὰς ἀναγκαίας προπαρασκευὰς λάβῃ, οὕτω καὶ ἡ τοῦ λόγου δεινότης οὐ δύναται ἐπίδοσιν λαβεῖν, ἂν μὴ ἀλλήλοις ἐπικοινωνήσωσι μαθηταὶ καὶ διδάσκαλοι*».

§. 41. Περὶ δὲ τοῦ εἰ δεῖ εὐθὺς ἀπ' ἀρχῆς ἀρίστῳ χρῆσθαι διδασκάλῳ, Κοϊντυλιανὸς ὀρθὰ παραινεῖ καὶ ἀδελφὰ τοῖς ὑπὸ τῶν νῦν παιδαγωγῶν διδασκομένοις. Εἰ καὶ ὁ συγγραφεὺς κυρίως εἰς τὴν ῥητορικὴν τοῦ παιδὸς κατάρτυσιν ἀφορᾷ, οἱ διαγραφόμενοι ὅμως κανόνες εἰσὶ γενικοὶ καὶ δύνανται πρὸς πᾶσαν ἐπιστημονικὴν μόρφωσιν εἶναι χρή-

τὴν τιμὴν τὴν πρὸς τὸν διδάσκαλον πρέπουσαν ἐνδεικνύμενος. Τίς δὲ ἀναγινώσκων τὸν Κρίτωνα τοῦ Πλάτωνος οὐ θαυμάζει τὴν ἀγάπην καὶ τὸ σέβας, ὅπερ οἱ μαθηταὶ πρὸς τὸν διδάσκαλον εἶχον; Ὁ Λιβάνιος λέγει, «ὅτι οἱ διδάσκαλοι ψυχαὶ πατέρων νομίζονται». Καὶ συνελόντι εἰπεῖν ὁμοίους τοῖς θεοῖς τοὺς γονεῖς καὶ διδασκάλους ἐνόμιζον, ὡς τοῦτο καὶ παρ' ἄλλοις καὶ παρ' Ἀρτεμιδώρῳ [Ὀνειροκρ. II, κεφ. 45, σελ. 249) ἀναγινώσκομεν, «καὶ γὰρ οὗτοι ὅμοιοί εἰσι θεοῖς οἱ μὲν εἰσάγοντες εἰς τὸ ζῆν, οἱ δὲ ὅπως χρὴ τῷ ζῆν χρῆσθαι διδάσκοντες.»

σιμοι. Βούλεται δέ, καθόλου εἰπεῖν, πέμπειν τοὺς παῖδας εὐθὺς ἀπ᾽ ἀρχῆς εἰς σχολεῖα ὀνομαστὰ καὶ διδασκάλοις παραδιδόναι οὐ μετρίοις. Τοιαύτην δ᾽ ἔχων γνώμην, ἀνασκευάζει τοὺς φρονοῦντας, «ὅτι διδάσκαλος μέτριος ἐπιτηδειότερος τυγχάνει ὢν καὶ τοῦτον ῥᾷον οἱ πρωτόπειροι ἀπομιμοῦνται, καὶ προθυμότερον τὰ βάρη τῆς πρώτης διδασκαλίας δέχεται», διὰ τῶν ἑξῆς. Φρονεῖ γὰρ ὅτι κάλλιστόν ἐστι τὸ ἐκ πηγῶν καθαρῶν ἀντλεῖν· οὐδέν, λέγει, χαλεπώτερον, ἢ τὸ ἐπανορθοῦν τὰ ἐλαττώματα τῆς πρώτης ἀγωγῆς· διδάσκαλος ἄξιος καὶ ἱκανὸς παραλαβὼν τὸν παῖδα παρ᾽ ἡμιμαθῶν τὰς πρώτας τῶν γνώσεων λαβόντα, δύο τινὰ δεήσει αὐτῷ πρᾶξαι, πρῶτον μὲν λήθην τῶν πλημμελῶς καὶ ἐσφαλμένως μεμαθημένων αὐτῷ παρασχεῖν, ὅπερ καὶ τὸ πάντων χαλεπώτατον, εἶτα δὲ καὶ ἀναδιδάξαι. Τούτου δ᾽ ἕνεκα καὶ Τιμόθεος ὁ αὐλητὴς διπλάσιον ἐλάμβανε μισθὸν παρὰ τῶν ὑπ᾽ ἄλλων πρότερον διδαχθέντων, ἢ παρὰ τῶν πρῶτον ἤδη παρ᾽ αὐτῷ διδασκομένων. Οἱ ταύτην τὴν γνώμην ἔχοντες, λέγει, διχῶς σφάλλονται· πρῶτον, διότι πιστεύουσιν, ὅτι οἱ μέτριοι διδάσκαλοι ἐπαρκοῦσι πρὸς παίδευσιν κατὰ τὰ πρῶτα τῶν παίδων ἔτη, ὅπερ οὐκ ἀληθές. Τότε γὰρ μόνον οἱ τοιοῦτοι τῶν διδασκάλων ἐξήρκουν τῇ πρώτῃ τοῦ παιδὸς ἡλικίᾳ, ἦσαν δὲ καὶ κατά τι ἀνεκτοί, εἰ ἐδίδασκον μικρὰ μέν, ἀλλ᾽ οὐ κακά. Δεύτερον δέ, τὸ καὶ παρὰ πολλῶν πιστευόμενον, ἐστίν, ὅτι οἱ ὑπερέχοντες κατὰ τὴν τέχνην τοῦ λέγειν οὐκ ἀρέσκονται διδάσκειν μικρά, εἴτε ὡς ἀπαξιοῦντες, εἴτε καὶ ὡς μὴ δυνάμενοι. Κατ᾽ ἐμὲ κριτήν, προστίθησιν, ὁ δυνάμενος τὰ μεγάλα καὶ ὑψηλὰ διδάξαι, δύναται

ὡσαύτως καὶ τὰ μικρὰ, εἰ δὲ μή, ἀνάξιός ἐστι λέγεσθαι διδάσκαλος. Ὁ γὰρ τὸ λέγειν δεινὸς γινώσκει κάλλιον παντὸς τὰ πείθοντα, διδάσκαλος δὲ ἱκανός ἐστιν ὁ εὐμέθοδος, καὶ τελευταῖον οὐ δύναται ὁ τὰ μέγιστα εἰδὼς ἀγνοεῖν τὰ μικρά.[1] Τίς λέγει, ὅτι ὁ δεινὸς ῥήτωρ οὐ δύναται λαλεῖν, καὶ ὁ ἄριστος ἰατρὸς οὐ δύναται τὰς ἐλαφρὰς ἀσθενείας θεραπεύειν; Καὶ ἔστι μὲν δεινότης τοῦ λέγειν τὰς τῶν παίδων δυνάμεις ὑπερβαίνουσα, ἀλλὰ δεῖ τὸν εὔγλωττον καὶ σοφὸν εἶναι· τῷ εἰδότι τὸ αὑτοῦ ἔργον καλῶς, ἔσται ἀνάγκη κανονίζειν τὸ βῆμα πρὸς τὰς τοῦ μαθητοῦ δυνάμεις· οὕτω ποδώκης, συμπορευόμενος παιδί, ὀρέγει μὲν αὐτῷ τὴν χεῖρα, βραδυπορεῖ δὲ καὶ οὐ προτρέχει, καὶ ταῦτα ποιεῖ, ἵνα ὁ παῖς δύνηται τούτῳ συνέπεσθαι. Τὸ πρᾶγμα, συνεπιφέρει Κοϊντυλιανός, καθίσταται καθαρώτερον καὶ θᾶττον κατανοεῖται, ὅταν ὑπὸ σοφῶν ἀναπτύσσηται· καὶ γὰρ ὁ κύριος τῆς ῥητορικῆς σκοπός ἐστιν ἡ σαφήνεια, καὶ ὅσῳ τις ἔλαττον ἔχει πνεῦμα, τόσῳ αὐχεῖν καὶ ἐπαίρεσθαι ἐπιχειρεῖ· οὕτω καὶ οἱ βραχεῖς τὸ σῶμα στηρίζονται ἐπὶ τοῦ ἄκρου τῶν ποδῶν, ἵνα φαίνωνται μείζους, καὶ οἱ στερούμενοι ἰσχύος εἰσὶν ἀπειλητικώτεροι. Πέπεισμαι γάρ, ὅτι ἡ ἔμφασις, τὸ πλημμελὲς, τὸ ἐπεζητημένον καὶ πάντα τὰ λοιπὰ τῆς κακοζηλίας ἐλαττώματα, οὐ δυνάμεως, ἀλλ᾽ ἀσθενείας τοῦ πνεύματός ἐστι δηλωτικά. Ὡς γὰρ ὁ τοῦ σώματος ὄγκος ἐστὶ σημεῖον ἀσθενείας καὶ οὐχ ὑγείας, οὕτω καὶ οἱ τῆς εὐθείας ἐκκλίνοντες ὡς ἐπὶ τὸ πολὺ ἀποπλανῶνται.

[1] Τοιαῦτά τινα καὶ Ἰσοκράτης φρονεῖ ἐν τῷ Πανηγυρικῷ λόγῳ.

Ὁ ἱκανὸς διδάσκαλος οὐ σφάλλεται, ἀλλὰ καὶ τὰ παρὰ τῶν μαθητῶν ἐσφαλμένως λεγόμενα ἐπανορθοῖ, ὁ δ' ἀμαθὴς παρατρέχει πολλὰ σφάλματα ἕνεκα ἀγνοίας, καὶ ταῦτα δεχόμενος, καὶ πάντας ποιεῖ τοὺς διδασκομένους δέχεσθαι. Ζητητέον οὖν οὐ μόνον τὸν σωφρονέστερον, ἀλλὰ καὶ τὸν σοφώτερον, οἷον ποιεῖ Ὅμηρος τὸν Φοίνικα,

«μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.»

§. 42. Ἀρχαῖον φαίνεται ὂν τὸ ἔθος τοῦ παιδεύειν τοὺς παῖδας τῷ παίειν· παρ' Ἕλλησι μάλιστα τοσοῦτον ἀναγκαῖον ἐνομίσθη, ὥστε καὶ ἐν παροιμίας τάξει διετυπώθη· «ὁ μὴ δαρεὶς ἄνθρωπος, εὑρίσκεται παρὰ Μαινάνδρῳ, οὐ παιδεύεται.» Ὅθεν καὶ τὸ γνωστὸν ἐκεῖνο λογοπαίγνιον, τὸ παράγον τὴν παιδείαν ἐκ τοῦ παίειν, «παῖς μὴ παισθεὶς οὐ παιδεύεται.» Ἡ ῥάβδος ἦν καὶ παρὰ τοῖς Ἕλλησι καὶ παρὰ τοῖς Ῥωμαίοις διδασκάλοις οὐ μόνον σημεῖον τοῦ διδασκαλικοῦ ἀξιώματος, ἀλλὰ καὶ ὄργανον τιμωρίας καὶ σωφρονισμοῦ. Εἰ καὶ οἱ τρυφεροὶ καὶ ἁβροδίαιτοι Ἴωνες ἐχρῶντο μάλιστα τῇ ῥάβδῳ καὶ τῇ βασάνῳ, ὅπως ἐξαναγκάζωσι τοὺς δούλους τὴν ἀλήθειαν λέγειν, πολλάκις δὲ καὶ πρὸς σωφρονισμὸν τῶν παίδων, οἱ τραχεῖς ὅμως Δωριεῖς προήγαγον αὐτὴν καὶ κατέστησαν ὄργανον ἀσκήσεως καὶ σκληραγωγίας. Τὸ σκληρὸν ὅμως τοῦτο καὶ παρὰ φύσιν γινόμενον ἔθος καὶ παρὰ τῶν σοφῶν Ἑλλήνων παιδαγωγῶν κατακριθὲν οὐκ ἦν ἄλλως πως γενέ-

[1] [Ἰλ. IX. 443]. Quintil. βιβλ. II, 3, 1—12. Πρβλ. καὶ Πλουτάρχ. περὶ παιδ. ἀγωγ. VI.

σθαι, ἢ καὶ ὑπὸ Κοϊντυλιανοῦ κατακριθῆναι καὶ καταδικασθῆναι. Καὶ ἀληθῶς ἀνὴρ πάντα τὸν βίον πρὸς ἐκπαίδευσιν τῆς νεότητος κατατρίψας καὶ παρ᾿ αὐτῶν ἔτι τῶν συγχρόνων ἐπὶ παιδαγωγικῇ ἱκανότητι θαυμασθείς, οὐκ ἠδύνατο, ἢ κατὰ τῆς ῥάβδου γνώμην ἐξενεγκεῖν, καὶ ταύτην ἀπὸ τῶν χειρῶν ἱκανοῦ καὶ συνετοῦ διδασκάλου ἀποτινάξαι.[1] «Τὸ παίειν, λέγει, τοὺς παῖδας αἰσχρόν ἐστι καὶ δουλοπρεπές, ὕβρις δ᾿ ὁμολογουμένως, ὅταν τοῦτο συμβαίνῃ ἀνθρώποις ἐν ἡλικίᾳ γενομένοις. Εἶτα δὲ μαθητής, οὗ ἡ καρδία ἐστὶν οὕτως ἀφυῶς πεπλασμένη, ὥστε μὴ διορθοῦσθαι ταῖς ἐπιπλήξεσιν, ἔτι μᾶλλον τῶν πλη-

[1] Πλάτων [Νόμ. ΙΑ′ 932 6] ἀπαλλάττει τὰ νῶτα τῶν ἐλευθέρων παίδων τῶν πληγῶν, ἐπιτρέπων μόνον παίεσθαι τὸν τῶν γονέων ἀμελοῦντα. Παρὰ τούτῳ ὅμως τῷ φιλοσόφῳ ἀνάγκη διακρίνεσθαι τὸ «κολάζειν» τοῦ «πληγαῖς κολάζειν.» Τοῦτο δὲ τῶν νεωτέρων τινὲς παιδαγωγῶν οὐ παρατηρήσαντες, ἀπεφήναντο ψευδῆ γνώμην, ὡς Πλάτων ἐπιτρέπει παίεσθαι τὸν τοὺς νόμους παραβαίνοντα. [Fried. Gramer «Gesch. d. Erzieh. im Altert. II. 343]. Τοιαύτην γνώμην ἔχει καὶ ὁ Πλούταρχος [περ. παίδ. ἀγωγ. XII] «Κἀκεῖνό φημι, λέγει, δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν παραινέσεσι καὶ λόγοις, μὴ μὰ Δία πληγαῖς μηδ᾿ αἰκισμοῖς. Δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον, ἢ τοῖς ἐλευθέροις πρέπειν· ἀποναρκῶσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ διὰ τὰς ὕβρεις. Ἔπαινοι δὲ καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις, οἱ μὲν γὰρ ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. Δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλως χρῆσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις· κἀπειδάν ποτε εὐφρανῶνται, ταῖς ἐπιπλήξεσιν ἐν αἰσχύνῃ ποιεῖσθαι· καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις· καὶ μιμεῖσθαι τὰς τιτθάς, αἵτινες, ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. Δεῖ δὲ αὐτοὺς μηδὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων καὶ θρύπτονται.»

γῶν ἕνεκα ἀποσκληρυνθήσεται, ὡς οἱ χείριστοι τῶν δούλων· πλὴν δὲ τούτων διδάσκαλος ἀπαιτῶν παρὰ τῶν μαθητῶν ἀκριβῆ τῶν σπουδῶν λόγον, οὐδέποτε ἀναγκασθήσεται τοιαύτῃ τιμωρίᾳ χρήσασθαι. Μόνη δὲ ἡ τῶν διδασκάλων ἀμέλεια καθίστησι τοὺς μαθητὰς ἀξιοποίνους· οὗτοι γὰρ τιμωροῦσι τοὺς παῖδας ὡς μὴ ποιήσαντας τὰ καθήκοντα αὐτῶν, δέον ἀναγκάζειν αὐτοὺς ταῦτα ἐπιτελεῖν. Ἐξαναγκάζοντες δὲ τὸ παιδίον διὰ τῆς ῥάβδου τὸ καθῆκον ἐπιτελεῖν, τί ποιήσομεν, ὅταν τοῦτο ἐν ἡλικίᾳ γένηται; Τίσι δὲ τρόποις χρώμενοι δυνηθησόμεθα ἐν μείζοσι μαθήμασιν ἐκπαιδεῦσαι τοῦτον, ὅστις ἤδη οὐχ ὑπὸ φόβου ἄγεται; Πρὸς δὲ τούτοις οἱ παῖδες τιμωρούμενοι ἕνεκα φόβου ἢ πόνου πράττουσι πολλάκις πράξεις ἀπρεπεῖς, ἐφ᾽ αἷς αἰσχύνονται ἔπειτα, ἡ δὲ τούτων αἰσχύνη καθίστησιν αὐτοὺς εἰς ἀθυμίαν καὶ ταπείνωσιν· οὕτω δὲ αἰσχυνόμενοι ἀποφεύγουσι τὸ φῶς καὶ δυσθυμοῦσιν. Τί δὲ γενήσεται, μὴ καταβληθείσης φροντίδος περὶ τῶν ἠθῶν τῶν φυλάκων καὶ διδασκάλων; Αἰσχύνομαι λέγειν, ποῖ παραφορᾶς τοιοῦτοι ἀνόσιοι διδάσκαλοι ἀφίκοιντο ἂν τῇ μυσαρᾷ τοῦ παίειν τιμωρίᾳ χρώμενοι, καὶ ἡλίκαι ἂν ἀκολασίαι ἀρχὴν λάβοιεν ἐκ τοῦ φόβου τοῦ ὑπὸ τούτων τοῖς δυστυχέσι μαθηταῖς ἐμβαλλομένου. Οὐκ ἐνδιατρίβω τούτοις· πλεῖστον ἐστὶ τὸ νοούμενον. Ἀρκείτω μοι ὑποδείξαντι ὅτι οὐδενὶ ἐπιτρέπεται ἡλικίᾳ ἀσθενεῖ καὶ τῇ ἀδικίᾳ ἐκτεθειμένῃ κακῶς συμπεριφέρεσθαι.»[1]

§. 43. Οὐ διέλαθε Κοϊντυλιανὸν τὸ ἐν τοῖς παισὶ τῆς

[1] Quintil. I, 3, 14—18.

ἀναπαύσεως καὶ ἀναψυχῆς ἀναγκαῖον·[1] ἐξετάσας γὰρ τὸ τούτων πνεῦμα, ἀνεῦρεν, ὅτι τὴν μάθησιν, ἵνα τελεσφόρος ᾖ, προσήκει ἑκουσίως γίνεσθαι·[2] οὐ δύναται γὰρ ἡ θέλησις τῶν παίδων βιάζεσθαι πρὸς τὸ μανθάνειν.[3] Ἡ συνεχὴς ἐργασία ἀποδοκιμάζεται ὑπὸ

[1] Quintil. I, 3, 8—14.

[2] Τοιαύτην τινὰ γνώμην εἶχον καὶ οἱ σοφοὶ τῶν Ἑλλήνων Πλάτων καὶ Ἀριστοτέλης, οἷς καὶ Πλούταρχος ἠκολούθησε. «Δοκεῖ δὲ ἡ ἀνάπαυσις καὶ ἡ παιδιὰ [λέγει Ἀριστοτέλης] ἐν τῷ βίῳ εἶναι ἀναγκαῖον» [Ἠθ. Νικομ. IV. σελ. 11 — καὶ πολιτ. VIII, 5 ἐν ἀρχῇ σελ. 265 Göttl]· «οὐ δεῖ, λέγει ὁ αὐτὸς, οὐ δεῖ ἅμα τῇ τε διανοίᾳ καὶ τῷ σώματι διαπονεῖν» [καὶ Πολιτ. VIII, 4 σελ. 263]. Τοιαῦτα δὲ καὶ Πλούταρχος λέγει· «Δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους, ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμών, ἀλλὰ καὶ εὐδία· οὐδὲ ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. Συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστι κ.τ.λ. [περὶ παιδ. ἀγωγ. XIII].»

[3] «Voluntas cogi non potest.» Ὅτι δὲ ἡ μάθησις τότε μάλιστα τελεσφόρος ἐστίν, ὅτε οἰκείᾳ θελήσει, καὶ οὐ βίᾳ γίνεται, τοῦτο καὶ ἄλλοι τῶν Ἑλλήνων καὶ Ἰάμβλιχος ὁ τοῦ Πυθαγόρου γράψας βίον καὶ Ἀριστόξενος ὁ Πυθαγορικὸς μαρτυροῦσιν· «Ἀμφοτέρων γὰρ δεῖ βουλομένων τὴν ἐπιστατείαν γίνεσθαι, ὁμοίως τοῦ τε ἄρχοντος καὶ τῶν ἀρχομένων, ὥσπερ καὶ τὰς μαθήσεις τὰς ὀρθῶς γενομένας ἑκουσίως δεῖν ἔφασαν γίνεσθαι, ἀμφοτέρων βουλομένων, τοῦ τε διδάσκοντος καὶ τοῦ μανθάνοντος· ἀντιτείνοντος γὰρ ὁποτέρου δήποτε τῶν εἰρημένων οὐκ ἂν ἐπιτελεσθῆναι κατὰ τρόπον τὸ προκείμενον ἔργον» [Ἰάμβλ. βίος Πυθαγόρ. XXX σελ. 183]. Ὅτι δὲ τοῦτο γνώμη τῶν Πυθαγορείων, μαρτυρεῖ καὶ Ἀριστόξενος ὁ Πυθαγορικὸς [Στοβ. ἐξ Ἰωάνν. τοῦ Δαμασκην. IV σελ. 411 Gaisf.] «Ἔφασκον δὲ [οἱ περὶ τὸν Πυθαγόραν] καὶ τὰς μαθήσεις πάσας τῶν τε ἐπιστημῶν καὶ τῶν τεχνῶν, τὰς μὲν ἑκουσίους ὀρθάς τε εἶναι καὶ εἰς τέλος ἀφικνεῖσθαι, τὰς δὲ ἀκουσίους φαύλους τε καὶ ἀτελεῖς γίνεσθαι».

τοῦ Ῥωμαίου παιδαγωγοῦ ὡς ἐναντία τῇ ἀνθρωπίνῃ φύσει. Εἰ ἐπιτρέπομεν τοῖς ἀψύχοις τῶν πραγμάτων ἀναπαύεσθαι, ἵνα ταῦτα ἐπὶ μακρότερον διατηρῆται χρόνον, τοῦτο μάλιστα ἀναγκαῖον τοῖς παισὶ γίνεσθαι.[1] Ἀναπαυόμενοι γὰρ οὗτοι, ἡδέως εἰς νέους ἀποδύονται πόνους, θαρροῦντες δὲ πάλιν καὶ μετὰ πνεύματος ἡσύχου πρὸς ἄλλας σπουδὰς τρέπονται.

§. 44. Καὶ ταῦτα μὲν ἐν γένει, λέγει, περὶ ἀναπαύσεως. Τὴν δὲ παιδιὰν θεωρεῖ σημεῖον εὐφυοῦς καὶ ζωηροῦ πνεύματος [signum alacritatis]· παιδίον, λέγει, καὶ ἐν αὐτῷ τῷ παίζειν ὂν σκυθρωπὸν καὶ λυπούμενον, παρέχει ὑπόνοιαν, ὅτι οὐ σπουδάζει προθύμως περὶ τὰ μαθήματα. Ἀχθόμενον γὰρ ἐν τῷ παίζειν, ὅπερ τῇ τοῦ ἀνθρώπου φύσει ἔγκειται, ἀποστρέφεται βεβαίως τὴν μελέτην, ᾗ πόνος συμπαρομαρτεῖ. Δεῖ ὅμως μετρίαν τὴν παιδιὰν τοῖς παισὶ παρέχειν· μηδόλως γὰρ παίζειν ἐπιτρέποντες, τὰς σπουδὰς αὐτοὺς μισεῖν ἀναγκάζομεν, ἐπὶ πολὺν δὲ πάλιν χρόνον ἐῶντες παίζειν, τῇ ὀκνηρίᾳ ἐθίζομεν· ὑπάρχουσι, λέγει κατωτέρω, παιδιαί, δυνάμεναι ὀξύνειν τὸν νοῦν τῶν παίδων· τοιαῦται φέρ' εἰπεῖν εἰσὶ τὸ προτείνειν τούτοις μικρὰ προβλήματα περὶ διαφόρων πραγμάτων, ὧν περ προθύμως σπεύδουσι τὴν λύσιν εὑρεῖν.

Ἐν ταῖς παιδιαῖς δέ, λέγει, ἐκκαλύπτεται καὶ φα-

[1] Ὁμοίως τούτοις καὶ Πλούταρχος γνωματεύει. «Καὶ οὐκ ἐπὶ τῶν ζώων μόνον τοῦτο ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων· καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. Καθόλου δὲ σώζεται, σῶμα μέν, ἐνδείᾳ καὶ πληρώσει· ψυχὴ δέ, ἀνέσει καὶ πόνῳ» [αὐτ. XIII].

νεροῦται τὰ τῶν παίδων ἤθη. Εἰ δὲ καὶ πᾶσα ἡλικία ἐπιτηδεία ἐστὶ διακρίνειν τὸ καλὸν τοῦ κακοῦ, ἡ παιδικὴ ὅμως καταλληλοτέρα πρὸς μόρφωσιν τῶν ἠθῶν τυγχάνει, ἅτε ἀγνοοῦσα ἔτι τὸ προσποιεῖσθαι καὶ εὐκολώτατα τοῖς διδασκάλοις ὑπείκουσα. Θραῦσαι δ' ἄν τις ῥᾷον δύναιτο τὸ διαστραφέν ποτε καὶ ἀποσκληρωθέν, ἢ ἐπανορθῶσαι. «**Frangas enim citius, quam corrigas, quae in pravum induerunt.**»[1]

Τούτων δ' οὖν ἕνεκα δεῖ ἡμᾶς παραινεῖν τῷ παιδὶ μηδὲν πράττειν μήτε ὑπὸ πάθους, μήτε ὑπὸ παραφορᾶς, ἀεὶ ἐνθυμουμένους τὸ τοῦ Βιργιλίου

adeo in teneris consuescere multum est.[2]

[1] «. . . . Οἱ δ' ἁρμάτειοι τροχοὶ πόνῳ καμφθέντες οὐδ' ἄν, εἴτι γένοιτο, τὴν ἐξ ἀρχῆς δύναιντο ἀναλαβεῖν εὐθυωρίαν· τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν ἀμήχανον» [Πλουτάρχ. περ. παιδ. ἀγωγ. IV].

[2] Γεωργικ. II, 272. Τοῦτο καὶ Φωκυλίδης ὁ ποιητὴς παραινεῖ «Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα».

ΤΕΛΟΣ.

ΣΦΑΛΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ.

σελ.			ἀντὶ	ἀνάγνωθι
2.	σημ.	2.	Roman	Romam.
2.	σημ.	4.	Oratiorum	Oratiarum.
5.			ᾄοιδῶν	ἀοιδῶν.
»	σημ.	1.	δαιτημόνες	δαιτυμόνες.
6.			κοινῶν	κοινῇ.
7.	σημ.	2.	dirigenta	dirigenda.
»			αὐτῇ	αὐτήν.
12.			γενομένου	γενομένοις.
»			ποιήσαιτ'	ποιήσαιεν.
14.			ἅμα δὲ καὶ	ἅμα καί.
15.			παρεντιθεῖσι	παρεντεθεῖσι.
»			κωλύσαι	κωλῦσαι.
»			ὤφλον	ὦφλον.
16.			Ἑλληνικῆς	Ἑλληνικοῖς.
23.			ἐποιεῖτο	ἦν.
24.			τραπέντες	τραπόμενοι.
»			ἐκλόνισε	ἐκλόνησε.
31.			Εὐρυπίδου	Εὐριπίδου.
36.			ἑτέρως πῶς	ἑτέρως πως.
37.	σημ.	2.	querenda	quaerenda.
»	»	»	Κάμερος	Κράμερος.
38.			ὑπερησπίζετο	ὑπερήσπιζε.
40.	σημ.		ἐξογγώσασα	ἐξογκώσασα.
»	»		διασαφηνῖσαι	διασαφηνίσαι.
»	»		διαλευκάναι	διαλευκᾶναι.
43.			quum	quam.
»	σημ.	1.	allii	alii.
44			παραγενόμενοι	παραγενομένοις.
54.			οὐ μόνον τῷ γένει	οὐ μόνον αὐτῇ, ἀλλὰ καὶ τῷ γένει.
57.	σημ.		τυδεννοφόροις	τηδεννοφόροις.
63.			ἑαυτῷ	ἑαυτοῦ.
65.			ἐποιεῖτο	ἐλογίζετο.
»	σημ.		δίδεται	δίδοται.
69.	σημ.	1.	προσφιλοσοφιτέον	προσφιλοσοφητέον.
71.			ἴωμεν	ἴωμεν.
77.			τερπόμενον	τρεπόμενον.
»	σημ.		obtulerant	obtulerant.

Βίος.

Ἐγεννήθην ἐν Καρύστῳ τὴν ιβ' Νοεμβρίου ἐν ἔτει ͵αωλδ' ὑπὸ γονέων Ἰωάννου καὶ Μαρίας ἐκ τῆς νήσου Ψαρῶν καταγομένων. Τὰ πρῶτα τῶν γραμμάτων ἐδιδάχθην ἐν τῷ δημοτικῷ τοῦ Ναυπλίου σχολείῳ, τὴν δ' ἑπομένην τούτοις παίδευσιν ἐν Χαλκίδι. Τὸ ἔτος ͵αωνβ' εἰσῆλθον εἰς τὴν ἐν Ἀθήναις Ῥιζάρειον σχολὴν καὶ ταύτης ἀποφοιτήσας κατετετάχθην εἰς τὸ αὐτόθι πανεπιστήμιον, ὅπου τετραετίαν ἠκροάσθην τῶν μαθημάτων τῆς φιλοσοφικῆς σχολῆς. Ἐδίδαξα τὸ πρῶτον ἐν Σάμῳ τὴν ὑπὸ ζυγὸν νεολαίαν τῆς πατρίδος, εἶτα δ' ἐν Κρήτῃ, διευθύνας ἀρτισύστατον γυμνάσιον. Κατὰ τὸ ͵αωξδ' ἐπανελθὼν εἰς Ἀθήνας, διωρίσθην Ἑλληνοδιδάσκαλος, προαχθεὶς ὕστερον εἰς Σχολάρχην. Τὴν κβ' Ὀκτωβρίου ͵αωνζ' ἐνυμφεύθην τὴν προσφιλῆ μοι Ἑλένην θυγατέρα Σπυρίδωνος Κατελούζου καὶ Φωτεινῆς. Τὸ ͵αωοε' γενικὸς ὢν γραμματεὺς τοῦ Ἑλληνικοῦ διδασκαλικοῦ συλλόγου ἀπεστάλην, ὑπουργοῦντος τοῦ φιλομούσου Γεωργίου Μίλησῃ, εἰς Ἐλβετίαν καὶ Γερμανίαν τὰ ἐν ταῖς χώραις ταύταις δημοτικὰ σχολεῖα ἐπισκεψόμενος καὶ παιδαγωγικῶν μαθημάτων ἀκροασόμενος. Καὶ πρῶτον μὲν διήκουσα μαθημάτων ὅλον ἔτος ἐν τῷ παρὰ τῇ Ζυρίχῃ τοῦ Küschnacht διδασκαλείῳ, εἶτα ἐλθὼν εἰς Λείψιαν ἠκροώμην ἐπὶ τρία ἑξάμηνα τῶν σοφῶν καθηγητῶν Μασσίου καὶ Τσιλέρου, ἅμα δὲ καὶ εἰς τὰ ἐν τῇ πόλει ταύτῃ τοῦ λαοῦ σχολεῖα φοιτῶν. Τούτοις οὖν τοῖς γεραροῖς Καθηγηταῖς καὶ πᾶσι τοῖς συλλαβοῦσι μοι οὐ παύσομαι παρὰ πάντα τὸν βίον χάριτας ἄγων καὶ εὐγνωμονῶν.

Ἐν Ἀθήναις τὴν ιβ' Ἰουλίου ͵αωοθ'.

ΜΙΛΤΙΑΔΗΣ Ι. ΒΡΑΤΣΑΝΟΣ.

ΑΘΗΝΑΙ
ΤΥΠΟΙΣ Χ. Ν. Φ.